8. Νέρων δὲ ἐπὶ μὲν ἐκεῖνον οὐκ ἔπλευσε, καίπερ ὀργὴν αὐτῷ ἔχων· οὐ μὴν οὐδὲ ἐπὶ τοὺς Αἰθίοπας, ἢ τὰς Πύλας τὰς Κασπίας[1], ὥσπερ ἐνενόει[2]· [ἀλλὰ ταῦτα μὲν, καὶ χρόνου καὶ πόνου ὁρῶν δεόμενα, ἤλπιζεν αὐτόματά οἱ προσχωρήσειν·] καὶ κατασκόπους ἐκατέρωσε ἔπεμψεν[3]· ἐς δὲ δὴ τὴν Ἑλλάδα ἐπεραιώθη[4], οὗτοι γε[5] ὡς Φλαμινῖνος, οὐδ' ὡς Μόμμιος ἢ καὶ Ἀγρίππας καὶ Αὔγουστος, οἱ πρόγονοι αὐτοῦ, ἀλλ' ἐπί τε ἡνιοχήσει καὶ κιθαρῳδήσει, κηρύξει[6] τε καὶ τραγῳδίας ὑποκρίσει. Οὐ γὰρ ἤρκει αὐτῷ ἡ Ῥώμη, οὐδὲ τὸ τοῦ Πομπηΐου θέατρον, οὐδ' ὁ μέγας ἱππόδρομος, ἀλλ' ἐδεήθη καὶ ἐκστρατείας τινὸς, ἵνα καὶ περιοδονίκης[7], ὡς ἔλεγε[8], γένηται. Τοσοῦτο δὲ[9] πλῆρος οὐχ ὅτι τῶν Αὐγουστείων, ἀλλὰ καὶ τῶν ἄλλων ἀνθρώτων ἐπηγάγετο, ὅσον, εἴπερ ἐμπολέμιον ἦν, καὶ Πάρθους ἂν καὶ τὰ ἄλλα ἔθνη ἐχειρώσατο. Ἀλλ' ἦσαν οἷοι Νερώνειοι

1. Peir. : τὰς Κασπίας Πύλας. Burnouf, notes sur Tacite (Ann., VI, 33) : « L'espace qui sépare la mer Caspienne du Pont-Exin forme une espèce l'isthme, au travers duquel le Caucase s'élève comme une muraille immense. Les divers passages de cette montagne ont reçu des anciens le nom de *Portes;* ce sont les *Portes Caucasiennes*, *Albaniennes*, *Ibériennes*. Le nom de portes Caspiennes est appliqué vaguement par les Romains à plusieurs de ces défilés, quoiqu'il appartienne proprement à un passage beaucoup plus au Sud, dans le mont Caspius, entre la Médie et le pays des Parthes. » Pline, VI, 13, prétend que cette expédition était dirigée, à travers l'Ibérie, contre les Sarmates; mais Tacite, Hist., I, 6 : « Quos Nero electos præmissosune ad claustra Caspiarum, et bellum, quod in Albanos parabat, opprimendis Vindicis cœptis revocaverat. »

lieu où nous pourrons] avoir une entrevue. » [Voilà ce que le Parthe lui écrivit en fin de compte.]

8. Néron, malgré sa colère, ne traversa pas la mer pour marcher contre lui, non plus que contre les Éthiopiens et contre les Portes Caspiennes, comme il en avait dessein; [voyant que cela demandait du temps et des fatigues, il se flattait que ces peuples se soumettraient volontairement;] il envoya partout des espions; puis il passa en Grèce, non comme Flamininus, ni comme Memmius, ou bien comme Agrippa et Auguste, ses ancêtres, mais pour y conduire des chars, pour y jouer de la lyre, pour y lutter avec les hérauts et pour y jouer la tragédie. Il n'avait plus assez de Rome, ni du théâtre de Pompée, ni du grand cirque; il lui fallait sortir de l'Italie, afin, comme il le disait, de devenir *périodonique*. Il emmenait avec lui non-seulement une foule d'*Augustani*, mais toute une armée d'autres personnes, aussi nombreuse que si elle eût été levée pour une guerre, ou que s'il se fût agi de subjuguer les Parthes ou les autres nations. C'étaient des soldats tels que pou-

2. Peir. : ἐνόει πλεῦσαι, au lieu de ὥσπερ ἐνόει. Sur ces projets de Néron: cf. LXII, 22. — 3. Peir. om. : καὶ.... ἔπεμψεν. — 4. Cf. Suétone, 22. — 5. Bkk.; vulg. et Ddf : οὔ τί γε.

6. Il y avait des luttes pour les hérauts aussi; ils disputaient le prix de l'étendue et de la clarté de la voix. Cf. P. Faber, *Agonist.*, II, 15, tome VIII, p. 1990, des Trésors de Gronove; Paulmier, *Exercit. ad auctores Græcos*, p. 578 et suiv.; Pausanias, V, 22. Philostrate, Vie d'Apollonius, IV, 22, dit, en parlant de Néron : Αἱ δὲ νίκαι ἦσαν κιθαρῳδίαι καὶ κήρυκες. — 7. Festus : « In gymnicis certaminibus perihodon vicisse dicitur, qui Pythia, Isthmia, Nemea, Olympia vicit, a circuitu eorum spectaculorum. » — 8. Peir. om. : ὡς ἔλεγε. — 9. Bkk. et Ddf; vulg. : γε; Peir. : γένηται. Καὶ τοσοῦτόν γε.

ἂν στρατιῶται γένοιντο, καὶ ὅπλα κιθάρας τε καὶ πλῆκτρα, προσωπεῖά[1] τε. Καὶ ἐμβάτας ἔφερον καὶ ἐνίκησε νίκας οἵας
R.p.1032 στρατοπέδῳ τοιούτῳ ἔπρεπε, καὶ κατέλυσε Τέρπνον, καὶ Διόδωρον, καὶ Παμμένην[2], ὡς Φίλιππον, ἢ Περσέα, ἢ Ἀντίοχον. Καὶ διὰ τοῦτό γε[3], ὡς ἔοικε, καὶ τὸν Παμμένην ἐκεῖνον ἐπὶ τοῦ[4] Γαΐου ἀκμάσαντα κατηνάγκασε, καίτοι[5] γέροντα ὄντα, ἀγωνίσασθαι, ἵνα αὐτοῦ τοὺς ἀνδριάντας κρατήσας αἰκίσηται[6].

9. Καὶ εἰ μὲν μόνα ταῦτα ἐπεπράχει, γέλωτα ἂν ὠφλήκει. Καίτοι πῶς ἄν τις καὶ ἀκοῦσαι, μὴ ὅτι ἰδεῖν, ὑπομείνειεν [ἄνδρα Ῥωμαῖον, βουλευτὴν, εὐπατρίδην, ἀρχιερέα, Καίσαρα[7],] αὐτοκράτορα Αὔγουστον ἔς τε τὸ λεύκωμα ἐν τοῖς ἀγωνισταῖς ἐγγραφόμενον, καὶ τὴν φωνὴν ἀσκοῦντα, μελετῶντά τέ τινας ᾠδὰς, καὶ τὴν μὲν κεφαλὴν κομῶντα, τὸ δὲ γένειον ψιλιζόμενον[8], ἱμάτιον ἀναβαλλόμενον ἐν τοῖς δρόμοις[9], μεθ' ἑνὸς[10] ἢ δύο ἀκολούθων βαδίζοντα, τοὺς ἀντιπάλους ὑποβλέποντα, καὶ ἀεί τι πρὸς αὐτοὺς μεθ' ὑψιμαχίας λέγοντα[11]· τοὺς ἀγωνοθέτας τούς τε μαστιγοφόρους φοβούμενον, καὶ χρήματα αὐτοῖς κρύφα

1. Bkk. et Ddf; vulg. : προσωπα, que Henri Étienne explique dans le même sens. — 2. Terpnus (Suét., 20; Philostrate, Vie d'Apollonius, V, 7) avait été le maître de musique de Néron; Diodore (ch. 20) est porté avec Néron sur son char de triomphe, lors du retour du prince à Rome; quant à Pamménès, peut-être est-ce le même que celui dont parle Philostrate (Sophistes, II, 1, § 7). — 3. *a*, *b*, *k*, Bkk. et Ddf; vulg. om. — 4. Peir. om.

5. Peir. : καίπερ, au lieu de καίτοι. — 6. Suétone. 24 : « Ne cujus alterius hieronicarum memoria aut vestigium exstaret usquam, subverti, et unco trahi abjicique in latrinas omnium statuas et imagines imperavit.»

7. Le passage ici entre crochets, et le suivant, ont été insérés par Bkk.

vaient être des néroniens; ils portaient, comme armes, des lyres, des archets, des masques et des cothurnes. Il remporta des victoires telles qu'il convenait à une pareille armée, et il effaça Terpnus, Diodore, Pammé- An de Rome 820. nès, comme s'il eût eu la gloire de vaincre un Philippe, un Persée ou un Antiochus. C'est pour cela, sans doute, Capiton et Julius Rufus consuls. qu'il contraignit le fameux Pammènès, qui était célèbre sous Caius, à combattre malgré son grand âge, afin de faire maltraiter ses statues après l'avoir vaincu.

9. Si encore il se fût contenté de ces extravagances, il n'eût été que ridicule. Et pourtant qui aurait supporté d'entendre, je ne dis pas de voir, [un Romain, un sénateur, un patricien, un grand pontife,] un empereur Auguste, se faisant inscrire sur l'album parmi les combattants, exerçant sa voix, étudiant des airs, laissant croître sa chevelure sur sa tête, le menton rasé, le manteau relevé dans les courses, marchant avec une ou deux personnes à sa suite, regardant en dessous ses adversaires, leur disant sans cesse des paroles propres à exciter parmi eux des querelles; tremblant devant les agonothètes et les mastigophores, leur donnant à tous de

et Ddf, d'après M. Gros, qui, p. LXXXIV de son Introduction, l'a emprunté au ms. de Peiresc. — 8. C'était le costume des musiciens, ou plutôt celui d'Apollon lui-même, qui portait la chevelure longue et le menton lisse.

9. Rm. : « Cursores non minus quam athletæ nudi certabant, cincti tantum subligaribus circa pudenda, quanquam et illa Græci postremo abjecerunt, teste Dionysio Hal., VII. » — 10. *a*, *b* : καθ' ἑνός.

11. *a*, *b*, *f* : μετ' ἀψιμαχίας. Suétone, 23 : « Adversarios, quasi plane conditionis ejusdem, observare, captare, infamare secreto, nonnunquam ex occursu maledictis incessere, ac si qui arte præcellerent, corrumpere etiam solebat. »

ἅπασιν ἀναλίσκοντα, μὴ καὶ ἐλεγχθεὶς μαστιγωθῇ[1]· καὶ ταῦτα μέντοι πάντα ποιοῦντα, ἵνα τὸν τῶν κιθαρῳδῶν [καὶ τῶν τραγῳδῶν, καὶ τῶν κηρύκων[2]] ἀγῶνα νικήσας, ἡττηθῇ τὸν τῶν Καισάρων. [Τίς γὰρ ἂν προγραφὴ ταύτης χαλεπωτέρα γένοιτο, ἐν ᾗ Σύλλας[3] μὲν ἄλλους, Νέρων δὲ ἑαυτὸν προέγραψεν; Τίς δὲ νίκη ἀτοπωτέρα, ἐν ᾗ τὸν κότινον, ἢ τὴν δάφνην, ἢ τὸ σέλινον, ἢ τὴν πίτυν λαβὼν, ἀπώλεσε τὸν πολιτικόν[4];] Καὶ τί ἄν τις ταῦτα αὐτοῦ μόνα ὀδύραιτο, ὁπότε καὶ ἐπὶ τοὺς ἐμβάτας ἀναβαίνων κατέπιπτεν ἀπὸ τοῦ κράτους, καὶ τὸ προσωπεῖον ὑπο-
R.p.1033 δύνων ἀπέβαλλε τὸ τῆς ἡγεμονίας ἀξίωμα, ἐδεῖτο ὡς δραπέτης, ἐποδηγεῖτο ὡς τυφλὸς, ᾠκύει, ἔτικτεν, ἐμαίνετο, [ἠλᾶτο,] τόν τε Οἰδίποδα καὶ τὸν Θυέστην, τόν τε Ἡρακλέα καὶ τὸν Ἀλκμαίωνα, τόν τε Ὀρέστην ὡς πληθει ὑποκρινόμενος[5]; Καὶ τά γε προσωπεῖα[6] τοτὲ[7] μὲν αὐτοῖς ἐκείνοις, τοτὲ δὲ καὶ ἑαυτῷ εἰκασμένα ἔφερε· τὰ γὰρ τῶν γυναικῶν πάντα πρὸς τὴν Σαβῖναν ἐσκεύαστο, [ὅπως κἀκείνη καὶ τεθνηκυῖα πομπεύῃ. Καὶ πάντα, ὅσα οἱ τυχόντες ὑποκρίνονται, κἀκεῖνος καὶ ἔλεγε, καὶ ἔπραττε, καὶ ἔπασχε, πλὴν καθόσον] χρυσαῖς ἁλύσεσιν ἐδεσμεύετο· καὶ γὰρ οὐκ ἔπρεπεν, ὡς ἔοικεν, αὐτοκράτορι Ῥωμαίων σιδηραῖς δεῖσθαι.

1. Les agonothètes], chargés d'admettre les concurrents, décernaient les prix et faisaient battre de verges par les mastigophores les athlètes indignes. — 2. Cf. p. 147, note 6.

3. Rsk. : ἐν ᾗ οὐ Σύλλας, de façon que Νέρων δέ soit la même chose que ἀλλὰ Νέρων. — 4. Depuis Auguste (LIII, 16), les empereurs avaient

l'argent en secret pour ne pas être fouetté quand il commettait quelque faute ; faisant tout cela pour, après avoir été vainqueur aux combats de la lyre, [de la tragédie et des hérauts,] être vaincu dans celui des Césars ? [Quelle proscription plus affreuse que celle où Sylla proscrivit les autres, et où Néron se proscrivit lui-même ? Quelle victoire plus ridicule que celle où, recevant une couronne d'olivier, ou de laurier, ou de persil, ou de pin, il perdit la couronne civique ?] Comment ne déplorer que ces extravagances de sa part, lorsque, montant sur les cothurnes, il tombait du pouvoir, lorsque, se couvrant du masque, il dépouillait la dignité du commandement, il était enchaîné comme un esclave fugitif, guidé comme un aveugle, il faisait le personnage d'une femme grosse, d'une femme qui accouche, celui d'un fou, [d'un homme errant], attendu qu'il jouait la plupart du temps OEdipe, Thyeste, Hercule, Alcméon, Oreste ? Il portait des masques ressemblant tantôt à ces personnages, tantôt à lui-même, car, pour tous les masques de femmes, ils représentaient Sabine, afin que, même après sa mort, elle prît part à la pompe. Toutes les paroles des premiers histrions venus, toutes leurs actions, toutes leurs souffrances dans leurs rôles, il s'y conformait, excepté toutefois] qu'on l'attachait avec des chaînes d'or ; car il n'était pas convenable, à ce qu'il paraît, d'attacher un empereur romain avec des chaînes de fer.

constamment devant leur demeure la couronne civique, comme ne cessant de sauver les citoyens. — 5. Rsk. : « In his nominibus desidero femininum unum aliquod, aut duo vel tria, quibus convenit ἐκύει, ἔτικτεν, fortassis Canaces aut Semeles. » — 6. Bkk. et Ddf ; vulg. : πρόσωπα.

7. Peir., Bkk. et Ddf ; vulg. : ποτὲ μὲν.... ποτὲ δέ.

10. Καὶ ταῦτα μέντοι πάντα οἵ τε ἄλλοι πάντες, καὶ οἱ στρατιῶται ὁρῶντες[1] ἔφερον, ἐπῄνουν· Πυθιονίκην τε αὐτὸν, καὶ Ὀλυμπιονίκην, καὶ Περιοδονίκην, καὶ[2] Παντονίκην, πρὸς τοῖς ἄλλοις οἷς εἰώθεισαν[3], ἀπεκάλουν· συμμιγνύντες, δῆλον ὅτι, αὐτοῖς καὶ τὰ τῆς ἀρχῆς ὀνόματα, ὥστε ἐφ' ἑκάστῳ[4] τόν τε Καίσαρα καὶ τὸν Αὔγουστον ἀκροτελεύτιον εἶναι. Οὐδὲ ἐτόλμησεν οὐδεὶς αὐτῶν οὔτε ἐλεῆσαι τὸν κακοδαίμονα, οὔτε μισῆσαι· ἀλλ' εἴς μέν τις στρατιώτης, ἰδὼν αὐτὸν δεδεμένον, ἠγανάκτησε, καὶ προσδραμὼν ἔλυσεν[5]· ἕτερος δὲ, ἐρομένου τινὸς, « Τί ποιεῖ ὁ αὐτοκράτωρ; » ἀπεκρίνατο, ὅτι « Τίκτει »· καὶ γὰρ τὴν Κανάκην ὑπεκρίνετο. Ἔργον δ' οὐδὲν ἄξιον Ῥωμαίων
R.p.1034 οὐδεὶς σφῶν ἐποίησε· τοσαῦτα γάρ που χρήματα διελάγχανον, ὥστε καὶ εὔχεσθαι αὐτὸν πολλὰ τοιαῦτα δρᾶν, ἵν' ἔτι πλείονα λαμβάνωσιν.

11. Ἀλλ' εἰ μὲν ταῦτα μόνα οὕτως ἐγεγόνει, αἰσχύνη τε ἅμα[6] καὶ χλευασία[7] τὸ πρᾶγμα ἀκίνδυνος[8] ἐνενόμιστο· νῦν δ' ὡς ἀληθῶς, ὥσπερ ἐπὶ πολέμῳ σταλεὶς, πᾶσαν μὲν τὴν Ἑλλάδα ἐλεηλάτησε, καίπερ ἐλευθέραν ἀφεὶς, παμπληθεῖς δὲ ἐφόνευσεν [ἄνδρας, γυναῖκας, παῖδας. Καὶ πρότερον μὲν τὴν ἡμίσειαν τῆς οὐσίας ἐκέλευσε[9] καὶ τὰ τέκνα καὶ τοὺς ἀπελευθέρους τῶν θανατουμένων ἀποθνή-

1. Peir. : Οἱ δὲ στρατιῶται ταῦτα ὁρῶντες, au lieu de : Καὶ ταῦτα μέντοι.... ὁρῶντες.

2. Bkk. et Ddf, d'après Henri Etienne, vulg. om. — 3. Peir. om. : οἷς εἰώθασιν. — 4. Peir. om. : ὥστε ἐφ' ἑκάστῳ. — 5. Suétone, 21,

10. Ces diverses folies, néanmoins, tous les autres et surtout les soldats en supportaient la vue et les approuvaient; ils lui donnaient, outre les noms ordinaires, ceux de pythionique, d'olympionique, de périodonique, de pantonique, mêlant, comme cela est évident, à ces titres ceux de l'autorité, de manière que, dans chacune de leurs acclamations, les noms de César et d'Auguste occupaient la dernière place. Personne n'eût osé ni plaindre un tel malheur, ni le détester : cependant un soldat, le voyant chargé de chaînes, en fut ému de colère, et courut le délier; un autre, à qui on demandait : « Que fait l'empereur? » répondit : « Il est en travail d'enfant; » car Néron jouait Canace. Mais il n'y en eut aucun qui se portât à aucune action digne des Romains; car Néron leur faisait tant de largesses qu'ils désiraient le voir se livrer à une foule d'extravagances pareilles, afin de recevoir davantage.

11. Mais enfin, si là se fussent bornés ces désordres, la chose eût pu être considérée comme une honte et une dérision exempte de danger; mais il ruina, comme à la suite d'une véritable expédition, la Grèce entière, bien qu'il lui eût donné la liberté; il tua aussi beaucoup de monde [hommes, femmes et enfants. D'abord il ordonna que les femmes et les affranchis de ceux qu'il condamnait à mort lui laisseraient en mourant la

rapporte également ce fait. — 6. Bkk. voudrait ajouter ἄν après ἅμα.
7. Rsk. : αἰσχύνῃ et χλευασίᾳ, au datif.
8. Bkk. et Ddf, d'après Henri Étienne; vulg. : ἀκίνδυνον. — 9. Peir. : ἐκέλευσέν οἱ.

σκοντας καταλείπειν· αὐτοῖς τε ἐκείνοις διαθήκας γράφειν ἐπέτρεπεν, ὅπως μὴ τῶν χρημάτων ἕνεκα αὐτοὺς ἀποκτείνειν δοκῇ (πάντως δὲ πάντα, ἢ τά γε πλείω αὐτῶν, ἐλάμβανεν· εἰ γοῦν[1] τις ἔλαττόν τι αὐτῷ ἢ καὶ Τιγελλίνῳ ὧν ἤλπιζον κατέλειπεν, οὐδὲ τῶν διαθηκῶν ὠνίνατο[3])· ὕστερον δὲ καὶ ὅλας τὰς οὐσίας ἀφῃρεῖτο· τούς τε παῖδας σφῶν πάντας ἅμα δι' ἑνὸς δόγματος ἐξήλασεν. Οὐδὲ τοῦτο αὐτῷ ἐξήρκησεν, ἀλλὰ καὶ συχνοὺς τῶν φευγόντων ἔφθειρεν.] Ἐπεὶ τάς γε οὐσίας[4] ὅσας καὶ ζώντων τινῶν ἐδήμευσε[5] καὶ τὰ ἀναθήματα ὅσα καὶ ἐξ αὐτῶν τῶν ἐν τῇ Ῥώμῃ ναῶν ἐσύλησεν[6], οὐδὲ ἐξαριθμήσειεν ἄν τις. [Διέτρεχον γὰρ γραμματοφόροι μηδὲν ἄλλο διαγγέλλοντες, ἢ ὅτι τόνδε ἀπέκτεινον[7], ὁ δὲ[8] τεθνηκεν· ἔξω γὰρ δὴ τῶν βασιλικῶν γραμμάτων οὐδὲν ἰδιωτικὸν διεπέμπετο. Συχνοὺς γὰρ ἐς τὴν Ἑλλάδα τῶν πρώτων ἐξήγαγεν, ὥς τι αὐτῶν δεόμενος, ἵν' ἐκεῖ ἀποθάνωσι.]

12. Τοὺς μέντοι ἐν τῇ Ῥώμῃ καὶ τῇ Ἰταλίᾳ πάντας Ἡλίῳ τινὶ Καισαρείῳ ἐκδότους παρέδωκε[9]· πάντα γὰρ
B.p.1035 ἁπλῶς αὐτῷ ἐπετέτραπτο[10], ὥστε[11] καὶ δημεύειν, καὶ φυγαδεύειν, καὶ ἀποκτιννύναι[12], καὶ πρὶν δηλῶσαι τῷ Νέρωνι, καὶ ἰδιώτας ὁμοίως, καὶ ἱππέας, καὶ βουλευτάς. Οὕτω μὲν δὴ τότε ἡ τῶν Ῥωμαίων ἀρχὴ δύο αὐτοκράτορ-

1. Bkk. et Ddf; vulg. : εἴτ' οὖν; Rsk. et St. : εἰ δ' οὖν. — 2. Peir. om.
3. Bkk. et Ddf; vulg. : ὠνίνετο. — 4. Peir. : Ὅτι τὰς οὐσίας, au lieu de : Ἐπεί γε τὰς οὐσίας.
5. Peir. : τῶν ζώντων ἐδήμευσε. — 6. Suétone, 32 : « Ultimo templis compluribus dona detraxit, simulacraque ex auro vel argento fa-

moitié de leurs biens ; de plus, il permit aux condamnés eux-mêmes de tester, afin de ne point sembler les mettre à mort à cause de leurs richesses (de toutes les façons il s'emparait de tout, ou, du moins, de la majeure partie des biens ; et, si on lui léguait, à lui ou à Tigellinus, moins qu'ils ne l'espéraient, le testament ne servait de rien) ; dans la suite, il les dépouilla complétement et bannit leurs enfants par un seul décret. Cela ne lui suffit pas, il livra au supplice un certain nombre d'exilés.] Combien de citoyens eurent, de leur vivant, leurs biens confisqués ; combien d'offrandes furent, même dans Rome, enlevées des temples : personne ne saurait les compter. [Des tabellaires couraient çà et là, rien que pour lui annoncer que celui-ci avait été tué, que celui-là était mort ; car, hormis les lettres du prince, on n'envoyait aucun message particulier. Il emmena en Grèce, comme s'il eût besoin d'eux, plusieurs citoyens du premier rang, afin de les y faire périr.]

12. Tous les habitants de Rome et de l'Italie furent livrés à la discrétion d'un certain césarien Hélius ; car cet Hélius avait été investi d'un pouvoir si absolu qu'il confisquait, exilait et tuait, avant même d'en rien communiquer à Néron, simples particuliers, chevaliers et sénateurs. Ainsi l'empire romain était l'esclave de deux

bricata conflavit. » — 7. Bkk. et Ddf ; vulg. : ἀπέκτεινεν ; Val., en marge : ἀπέκτειναν. — 8. Bkk. : ὁ δεῖνα, au lieu de ὁ δέ. — 9. Peir. om. : Τοὺς μέντοι. . . παρέδωκε.

10. Peir. : Πάντα δὲ τῷ Ἡλίῳ ἐπετέραπτο. — 11. Peir. om. — 12. Après ἀποκτιννύναι, on lit dans Peir. : πάντας ὁμοίως ἐξεῖναι.

σιν ἅμα ἐδούλευσε, Νέρωνι καὶ Ἡλίῳ. Οὐδὲ ἔχω εἰπεῖν ὁπότερος αὐτῶν χείρων ἦν· τὰ μὲν γὰρ ἄλλα ἐκ τοῦ ὁμοίου πάντα ἔπραττον, ἐν ἑνὶ δὲ τούτῳ διήλλασσον, ὅτι ὁ μὲν τοῦ Αὐγούστου ἀπόγονος κιθαρῳδοὺς καὶ τραγῳδοὺς [1], ὁ δὲ τοῦ Κλαυδίου ἀπελεύθερος Καίσαρας ἐζήλου. Τὸν γὰρ Τιγελλῖνον ἐν προσθήκης μέρει τοῦ Νέρωνος, ὅτι σὺν αὐτῷ ἦν [2], τίθημι. Χωρὶς δὲ ὅ τε Πολύκλειτος, καὶ Καλουΐα Κρισπινίλλα [3] ἦγον, ἐπόρθουν, ἐσύλων πάνθ' ὅσα ἐνεδέχετο· ἐκεῖνος μὲν, μετὰ τοῦ Ἡλίου ἐν τῇ Ῥώμῃ, αὕτη δὲ μετά τε τοῦ Νέρωνος καὶ μετὰ τῆς Σαβίνης τοῦ Σπόρου. Τήν τε γὰρ φυλακὴν αὐτοῦ, καὶ τὴν ἐπιτροπείαν τὴν περὶ ἐσθῆτα, καίπερ γυνὴ καὶ ἐπιφανὴς οὖσα, ἐπεπίστευτο, καὶ δι' αὐτῆς πάντες ἀπεδύοντο.

13. Ὠνόμασε δὲ Σαβῖναν τὸν Σπόρον, οὐ κατὰ τοῦτο μόνον ὅτι διὰ τὴν ὁμοιότητα αὐτῆς ἐξετέτμητο [4] ἀλλ' ὅτι καὶ ἐγήματο αὐτῷ, ὥσπερ καὶ ἐκείνη [5], ἐν τῇ Ἑλλάδι, κατὰ συμβόλαιον [6], ἐκδόντος αὐτὸν τοῦ Τιγελλίνου, ὥσπερ ὁ νόμος ἐκέλευε [7]. Καὶ τοὺς γάμους [8] αὐτῶν πάντες οἱ Ἕλληνες ἑώρτασαν, τά τε ἄλλα, οἷα εἰκὸς ἦν, ἐπιλέγοντες,

1. *a*, *b*, *i k*; Bkk. et Ddf; vulg. om. : καὶ τραγῳδούς. — 2. On lit dans les *Excerpta Vat.* : Ὅτι Νέρων ποτὲ εἶπεν μήτε αὐτὸν [Van Hewerden veut lire αὐτὸς] χωρὶς Τιγελλίνου, μήτε Τιγελλῖνον χωρὶς Νέρωνος ζῆν. « Néron dit un jour qu'il ne vivait pas sans Tigellinus, ni Tigellinus « sans Néron. »

3. Bkk. et Ddf; vulg. : Κρισπινίλα.

4. Suidas (Σπόρος) rapporte ainsi ce passage : οὐ μόνον διὰ τὴν ὁμοιότητα τῆς γυναικὸς ὅτι ἐξετέτμητο. Suétone, 28 : « Puerum Sporum exsectis testibus, in muliebrem naturam, transfigurare conatus est, . . . »

empereurs, de Néron et d'Hélius. Je ne saurais dire lequel des deux était le pire; car leurs actions se ressemblaient en tout, et il n'y avait entre eux de différence qu'en un seul point, c'est que l'un, descendant d'Auguste, imitait les joueurs de lyre et les tragédiens, et que l'autre, simple affranchi de Claude, imitait les Césars. Quant à Tigellinus, je ne le compte que comme une addition à Néron, attendu qu'il était continuellement avec lui. De leur côté, Polyclète et Calvia Crispinilla enlevaient, ravageaient, pillaient tout ce qui se rencontrait; le premier, avec Hélius, dans Rome, la seconde, avec Néron et Sabine-Sporus. Car Néron avait confié à Crispinilla, bien qu'elle fût une femme et une femme de distinction, la garde de Sporus et le soin de son vestiaire, et par elle tout le monde était dépouillé.

13. Néron avait donné à Sporus le nom de Sabine, non-seulement parce qu'il avait été coupé, afin de ressembler à cette femme, mais encore parce qu'il l'avait, comme Sabine, épousé en Grèce, en vertu d'un contrat avec Tigellinus, qui le lui fiança suivant les prescriptions de la loi. Tous les Grecs célébrèrent ces noces par des acclamations appropriées à la circonstance et par le

5. Suidas : κἀκείνη, au lieu de καὶ ἐκείνη. — 6. L'auteur s'est servi plus haut (LXII, 28) de l'expression κατὰ συγγραφήν.

7. Robert Étienne et Henri Étienne (*ed. minor*), Bkk. et Ddf; vulg., Slbg., Henri Étienne (*ed. major*), Lncl, Rm. et St. : ἐκέλευσε. Suétone, cité note 4 ci-contre, continue : « .... cum dote et flammeo, per solenne nuptiarum, celeberrimo officio, deductum ad se pro uxore habuit. » Cf. LXII, 28, et la note 2 de la page 130.

8. Vulg. : Καὶ τούς τε [Bkk. et Ddf mettent ce dernier mot entre crochets] γάμους.

καὶ γνησίους σφίσι παῖδας γεννηθῆναι εὐχόμενοι[1]. Κἀκ τούτου συνεγίνοντο ἅμα τῷ Νέρωνι, Πυθαγόρας[2] μὲν ὡς ἀνὴρ, Σπόρος δὲ ὡς γυνή· πρὸς γὰρ τοῖς ἄλλοις καὶ κυρία, καὶ βασιλὶς, καὶ δέσποινα ὠνομάζετο. Καὶ τί τοῦτο θαυ-
II.p.1036 μάσειεν ἄν τις ὁπότε καὶ μειράκια καὶ κόρας σταυροῖς γυμνὰς προσδέων, θηρίου τέ τινος δορὰν ἀνελάμβανε, καὶ προσπίπτων σφίσιν, ἠσέλγαινεν ὡς ἐπὶ ποσθίων[3]; Τοιαῦτα μὲν ὁ Νέρων ἠσχημόνει, τοὺς δὲ βουλευτὰς χιτώνιόν τι ἐνδεδυκὼς ἄνθινον, καὶ σινδόνιον περὶ τὸν αὐχένα ἔχων, ἠσπάσατο· καὶ γὰρ καὶ ἐν τούτοις ἤδη παρηνόμει, ὥστε καὶ ἀζώστους χιτῶνας ἐν τῷ δημοσίῳ ἐνδύεσθαι[4]. Λέγεται δ' ὅτι καὶ οἱ ἱππεῖς οἱ ἐκ τοῦ τέλους ἐπὶ αὐτοῦ πρῶτον ἐφιππίοις[5] ἐν τῇ ἑτησίᾳ σφῶν ἐξετάσει ἐχρήσαντο.

14. Ἐν δὲ τοῖς Ὀλυμπίοις ἅρμα ἐλάσας, καὶ πεσὼν ἐξ αὐτοῦ, καὶ ὀλίγου δεῖν συντριβεὶς, ὅμως ἐστεφανώθη, καὶ διὰ τοῦτο καὶ τοῖς Ἑλλανοδίκαις τὰς πέντε καὶ εἴκοσι μυριάδας, ἃς ὕστερον Γάλβας παρ' αὐτῶν ἀπήτησεν, ἔδωκε[6]. [Ὅτι ὁ αὐτὸς[7] τῇ Πυθίᾳ δέκα μυριάδας ἔδωκεν, ὅτι τινὰ κατὰ γνώμην αὐτοῦ ἐθέσπισεν, ἃς ὁ Γάλβας ἐκο-

1. Rm. : « Pertinet hoc ad Fescenninos jocos, qui inter ceteras acclamationes votivas et læta omnia in nuptiis jactari licentius solebant. »

2. C'est le nom qui lui est donné également au ch. 22 ci-après, et, ci-devant, ch. 28 du livre précédent. Tacite, XV, 37, est d'accord avec notre historien; mais Suétone, 29, l'appelle Doryphore, par confusion, sans doute, avec ce même affranchi qui (LXII, 5) était caissier général de l'empire. Peut-être aussi cet affranchi portait-il les deux noms, ou bien avait-il succédé à l'autre.

3. Au lieu de (vulg.) : ὥσπερ τι ἐσθίων, qui n'a pas de sens. Ceux qui étaient condamnés aux bêtes étaient attachés nus à des poteaux, et

souhait de voir naître de cette union des enfants légitimes. A partir de ce moment, Néron eut commerce avec Pythagoras comme avec un mari, et avec Sporus comme avec une femme ; car, outre ses autres noms, on lui donnait ceux de dame, de reine et de maîtresse. Comment s'en étonner, lorsqu'après avoir fait attacher des jeunes garçons et des jeunes filles toutes nues à des poteaux, il se couvrait d'une peau de bête, et, fondant sur eux, il les assaillait à la façon des brutes ? Telles étaient les turpitudes de Néron ; de plus, il saluait les sénateurs, vêtu d'une tunique brodée et un linge autour du cou ; il contrevenait déjà aux lois en se montrant en public avec des tuniques sans ceinture. Ce fut aussi, dit-on, sous ce prince, à leur revue annuelle, que les chevaliers servant dans l'armée firent usage pour la première fois de caparaçons.

14. Aux jeux Olympiques, dans la course des chars, malgré une chute où il faillit être écrasé, il n'en fut pas moins couronné, en récompense de quoi il donna aux hellanodices deux cent cinquante mille drachmes, que Galba leur réclama dans la suite. [Le même donna à la Pythie, pour un oracle rendu à son gré, cent mille drachmes, que Galba lui reprit.] Il dépossédа Apollon du

exposés dans cet état à leur voracité. Suétone, 29 : « ... ut ... quasi genus lusus excogitaret, quo feræ pelle contectus emitteretur, virorumque ac feminarum ad stipitem deligatorum inguina invaderet. »

4. Suétone, 51 : « Circa cultum habitumque adeo pudendus, ut plerumque synthesinam indutus, ligato circum collum sudario, prodierit in publicum sine cinctu et discalceatus. » — 5. Lncl., en marge, Bkk. et Ddf ; Rm. et St. : ἐφίπποις, avec le même sens ; vulg. : ἐφ' ἵπποις.

6. Suétone, 24 : « Provinciam universam libertate donavit ; simulque judices civitate Romana et pecunia grandi. » — 7. Rm. et St. remplacent Ὅτι ὁ αὐτός par Καί.

μίσατο[1].] Τοῦ δὲ δὴ Ἀπόλλωνος, εἴτ' οὖν ἀγανακτήσας ὅτι λυπηρά τινα προεῖπεν αὐτῷ[2], εἴτε καὶ ἄλλως μανείς, τήν τε χώραν τὴν Κιρραίαν ἀφείλετο, καὶ στρατιώταις ἔδωκε καὶ τὸ μαντεῖον κατέλυσεν, ἀνθρώπους ἐς τὸ στόμιον, ἐξ οὗ τὸ ἱερὸν πνεῦμα ἀνήει, σφάξας. Ἠγωνίσατο δὲ ἐν πάσῃ ὁμοίως πόλει ἀγῶνα ἐχούσῃ, κήρυκι πρὸς πάντα
B.p.1037 τὰ κηρύξεως δεόμενα Κλουουίῳ[3] Ῥούφῳ ἀνδρὶ ὑπατευκότι χρησάμενος, πλὴν Ἀθηνῶν καὶ Λακεδαίμονος[4]· ταύταις γὰρ μόναις οὐδὲ ἐπεφοίτησε τὴν ἀρχήν· τῇ μὲν, διὰ τοὺς Λυκούργου νόμους, ὡς ἐναντίους τῇ προαιρέσει αὐτοῦ ὄντας· τῇ δὲ, διὰ τὸν περὶ τῶν Ἐρινύων λόγον[5]. Τὸ δὲ δὴ κήρυγμα ἦν, « Νέρων Καῖσαρ νικᾷ τόνδε τὸν ἀγῶνα, καὶ στεφανοῖ τόν τε τῶν Ῥωμαίων δῆμον καὶ τὴν ἰδίαν οἰκουμένην[6]. » Ἔχων γὰρ, ὡς ἔλεγεν, οἰκουμένην, ἐκιθαρῴδει τε, καὶ ἐκήρυττε[7] καὶ ἐτραγῴδει.

15. Τὴν δὲ γερουσίαν οὕτως δεινῶς ἐμίσει, ὥστε καὶ

1. Rm. : « In postremis verbis, ἃς ὁ Γάλβας ἐκομίσατο, videtur aliquid deesse, quod indicaret idem pariter factum esse in hac pecunia, ac illa quæ Hellanodicis data fuerat. Forte : ἃς καὶ αὐτὰς ὁ Γάλβας, etc., nisi malis hanc formulam pro eadem habere cum superiore Xiphilini, et eam semel tantum post utramque donationem ponere. » Dans sa note 70, le même savant signale la contradiction entre ce passage et celui qui suit. Il fait remarquer, d'après Suétone (40), que : « Consulto Delphis Apolline, septuagesimum ac tertium annum cavendum sibi audivit, quasi eo demum obiturus, ac nihil conjectans de ætate Galbæ, tanta fiducia non modo senectam, sed etiam perpetuam singularemque concepit felicitatem, ut, amissis naufragio pretiosissimis rebus, non dubitaverit inter suos dicere, pisces eas sibi reddituros. » Quant à la réponse fâcheuse, il cite ce passage du Dialogue de Lucien, intitulé Néron : Τοῦ Πυθίου καταλέξαντος αὐτὸν εἰς τοὺς Ὀρέστας τε καὶ Ἀλκμαίωνας.... ὑβρίσθαι ὑπὸ τοῦ

territoire de Cirrha, soit colère contre ce dieu qui lui avait rendu quelque fâcheuse réponse, soit transport de fureur, le donna aux soldats, et supprima l'oracle en jetant des hommes qu'il avait égorgés dans l'ouverture même du lieu d'où sortait le souffle sacré. Il combattit dans toutes les villes où il y avait des combats, se servant comme héraut de Cluvius Rufus, personnage consulaire, partout où l'office d'un héraut était nécessaire, excepté à Athènes et à Lacédémone; car ces villes furent les seules où il ne se rendit pas, l'une à cause des lois de Lycurgue, qui étaient contraires à ses intentions; l'autre à cause de la tradition relative aux Érinnys. La proclamation du héraut était : « Néron César est vainqueur dans ce combat; il couronne le peuple romain et son univers. » Car, bien qu'il tînt, comme il le disait, l'univers sous son pouvoir, il chantait sur la lyre, il luttait avec les hérauts et jouait la tragédie.

15. Il était animé contre le sénat d'une haine si vio-

θεοῦ ᾖετο. Peut-être aussi serait-ce à cela que fait allusion l'Extrait suivant des palimpsestes du Vatican : Ὅτι ἀπὸ Δελφῶν ταχέως ἐξῆλθε λέγων ὅτι ζηλοτυπεῖ τὴν φωνὴν αὐτοῦ ὁ Ἀπόλλων. « Quelqu'un vint en hâte de « Delphes annoncer qu'Apollon était jaloux de la voix de Néron. »

2. Peir. : αὐτῷ πρὸεῖπεν. — 3. Bkk. et Ddf; vulg. : Κλουβίῳ. Ce personnage est cité par Suétone, 21; par Tacite, Hist., I, 8; IV, 39 et 43; Ann., XIII, 20; XIV, 2; par Pline le Jeune, IX, 19. — 4. Rsk. et St., à cause des féminins qui suivent; de même, Bkk. et Ddf; vulg. : Λακεδαιμονίων.

5. Les Furies avaient, à Athènes, un temple voisin de celui de Minerve dans l'Aréopage, à l'endroit où fut jugé Oreste poursuivi par ces déesses pour le meurtre de sa mère. — 6. Le héraut, dans sa proclamation, ajoutait au nom de l'athlète victorieux celui de sa patrie. — 7. Sur la signification qu'il faut attacher à ce mot, cf. p. 147, note 6.

τῷ Οὐατινίῳ[1] ὡς μάλιστα χαίρειν, ὅτι ἔλεγεν ἀεί ποτε πρὸς αὐτὸν, « Μισῶ σε, Καῖσαρ, ὅτι συγκλητικὸς εἶ[2]· » χρήσομαι γὰρ αὐτῷ τῷ λεχθέντι ὑπ' αὐτοῦ ῥήματι. Ἐτηροῦντο δὲ ἀκριβῶς καὶ τούτων καὶ τῶν ἄλλων ἀεί ποτε καὶ αἱ ἔσοδοι καὶ αἱ ἔξοδοι, τά τε σχήματα, καὶ τὰ νεύματα, καὶ τὰ ἐπιβοήματα· καὶ οἱ μὲν ἀεὶ συνόντες αὐτῷ, καὶ σπουδαίως ἀκροώμενοι, τορῶς τε ἐκβοῶντες, ἐπηνοῦντο καὶ ἐτιμῶντο, οἱ δὲ λοιποὶ καὶ ἠτιμάζοντο καὶ ἐκολάζοντο[3], ὥστε τινὰς μὴ δυναμένους ἐπὶ πολὺ ἀντέχειν (πολλάκις γὰρ καὶ μέχρι τῆς ἑσπέρας ἐξ ἑωθινοῦ παρετείνοντο), προσποιεῖσθαί τε ἐκθνήσκειν, καὶ νεκρῶν δίκην ἐκ τῶν θεάτρων ἐκφέρεσθαι.

R.p.1038 16. Πάρεργον δὲ δὴ τῆς ἐπιδημίας τῆς ἐν τῇ Ἑλλάδι ἐποιήσατο τὸν ἰσθμὸν τῆς Πελοποννήσου διορύξαι ἐπιθυμήσας[4], καὶ ἤρξατο τοῦ ἔργου, καίπερ τῶν ἀνθρώπων ὀκνούντων· αἷμά τε γὰρ τοῖς πρώτοις ἁψαμένοις τῆς γῆς ἀνέβλυσεν, καὶ οἰμωγαὶ μυκηθμοί τέ τινες ἐξηκούοντο, καὶ εἴδωλα πολλὰ ἐφαντάζετο. Λαβὼν δὲ αὐτὸς δίκελλαν,

1. Tacite, XV, 34 : « Vatinius inter fœdissima ejus aulæ ostenta fuit, sutrinæ tabernæ alumnus, corpore detorto, facetiis scurrilibus; primo in contumelias assumptus, dehinc optimi cujusque criminatione eo usque valuit, ut gratia, pecunia, vi nocendi, etiam malos præmineret. »

2. Flatterie tout à fait neuve, et qui plaisait fort à Néron. Cet homme connaissait bien le tyran qui (Suétone, 37) « multas nec dubias significationes sæpe jecit, ne reliquis quidem se parsurum senatoribus; eumque ordinem sublaturum quandoque e republica, ac provincias et exercitus equiti Romano ac libertis permissurum. »

3. Cf. Suétone, 23 et 25; Tacite, XVI, 5. Les *Excerpta Vaticana* : Ὅτι ἀγανακτήσαντος αὐτοῦ πρός τινα ὅτι, λέγοντος αὐτοῦ, ἐσκυθρώπασεν,

lente, qu'il reçut Vatinius bien avant dans ses bonnes grâces, parce qu'il lui disait toujours (je me servirai de ses propres expressions) : « Je te hais, César, parce que tu es sénateur. » On ne cessait d'observer attentivement la manière dont les sénateurs et autres entraient et sortaient, leur contenance, leurs gestes, leurs exclamations ; ceux qui se montraient toujours assidus, qui étaient empressés à l'écouter, et qui faisaient entendre distinctement leurs acclamations recevaient des éloges et des honneurs, au lieu que les autres étaient outragés et punis, de sorte que quelques-uns, ne pouvant y résister plus longtemps (souvent les spectacles duraient depuis le matin jusqu'au soir), feignaient de tomber en défaillance et se faisaient emporter du théâtre en manière de cadavres.

16. Pendant son voyage de Grèce, il conçut, comme passe-temps, le désir de percer l'isthme du Péloponnèse, et mit la main à l'œuvre, quelque éloignement que tout le monde témoignât pour ce projet; car du sang avait jailli sur les premiers qui remuèrent la terre, des lamentations et des mugissements s'étaient fait entendre et des spectres s'étaient montrés en grand nombre. C'est pourquoi,

καὶ οὐ σφόδρα ὑπερεπῄνεσεν, ἀπεδίωξεν αὐτὸν, ἐπιτρέψας μὴ ἐλθεῖν αὐτὸν εἰς ὀφθαλμοὺς αὐτοῦ. Καὶ ὡς οὐκ ἐδέχετο αὐτὸν, ἐκείνου εἰπόντος · « Καὶ ποῦ ἀπέλθω ; » ὁ Φοῖβος ὁ ἀπελεύθερος Νέρωνος ἀπεκρίνατο [le ms. : ἀπεκρίνετο] αὐτῷ · « Εἰς κόρακας. » — « [Néron] irrité contre quelqu'un qui, « tandis qu'il déclamait, avait gardé une contenance sévère, au lieu de « lui prodiguer des éloges sans mesure, le chassa et lui défendit de « jamais paraître devant ses yeux. Comme le prince ne le recevait pas, « celui-ci s'étant écrié : « Où m'en irai-je donc? » Phœbus, affranchi de « Néron, lui répondit : « Aux corbeaux. »

4. Sur ce projet, cf. le dialogue de Lucien intitulé *Néron ;* Suétone, 19; Philostrate, Vie d'Apollonius, IV, 24, et Pline, Hist. Nat., IV, 4.

καί τι[1] καὶ ἀνασκάψας, ἔπεισε καὶ τοὺς ἄλλους ἀνάγκῃ αὐτὸν μιμήσασθαι· καὶ πολὺ πλῆθος ἀνθρώπων ἐπὶ τοῦτο τὸ ἔργον καὶ ἐκ τῶν ἄλλων ἐθνῶν μετεπέμψατο.

17. Ἔς τε οὖν τἆλλα καὶ ἐς ταῦτα χρημάτων πολλῶν δεόμενος, καὶ μεγαλοπράγμων καὶ μεγαλόδωρος ὁμοίως ὢν, καὶ ἅμα φοβούμενος τοὺς δυνατωτάτους, μὴ ἐπίθωνταί οἱ τοιαῦτα ποιοῦντι, πολλούς τε καὶ ἀγαθοὺς ἄνδρας ἔφθειρεν. Ὧν ἐγὼ τοὺς μὲν ἄλλους ἐάσω (πᾶσί τε γὰρ παρ' αὐτῷ δημόσιον ἔγκλημα ἦν ἀρετή τε καὶ πλοῦτος καὶ γένος· καὶ πάντες ἢ ἑαυτοὺς ἀπεκτίννυσαν, ἢ ὑπ' ἄλλων ἐφονεύοντο)· τοῦ δὲ δὴ Κορβούλωνος, καὶ Σουλπικίων[2], καὶ Σκριβωνίων[3] Ῥούφου τε καὶ Πρόκλου, μνημονεύσω. Τούτων μὲν, ὅτι ἀδελφοί τε καὶ ἡλικιῶται τρόπον τινὰ ὄντες, καὶ μηδὲν μηδέποτε ἄνευ ἀλλήλων πράξαντες, ἀλλ' ὥσπερ τῷ γένει, οὕτω καὶ τῇ προαιρέσει τῇ τε οὐσίᾳ[4] συμπεφυκότες, καὶ τὰς Γερμανίας δὲ ἀμφοτέρας ἐπὶ πολὺ ἅμα διῴκησαν, ἦλθόν τε ἐς τὴν Ἑλλάδα μετάπεμπτοι, ὥς τι[5] αὐτῶν τοῦ Νέρωνος δεομένου· καὶ ἐγκλήματος, οἷα ὁ καιρὸς ἐκεῖνος
R.p.1039 ἔφερε[6], λαβόντες, καὶ μήτε λόγου τυγχάνοντες, μήτε ἐς

1. c om. : καί τι.

2. Le père et le fils; cf. ch. suivant. — 3. *a*, *b* : Σουλπικίων Σκριβωνίων. C'est aux frères Scribonius que Tacite, Hist., IV, 41, fait allusion : « Ad Pactium Africanum trangressi, eum quoque proturbant; tanquam Neroni Scribonios fratres [cf. Ann., XIII, 48], concordia opibusque insignes, ad exitium monstravisset. » Ryckius, notes sur les Ann. de Tacite, les croit petits-fils ou fils de L. Scribonius Libon, qui fut consul l'an de Rome 769; Rm., sans rien affirmer, pense qu'on pourrait leur donner pour père Scribonius Proculus, qui, sous Caius, fut déchiré en plein sénat par

prenant lui-même la bêche et creusant la terre, il décida nécessairement les autres à l'imiter; il fit aussi venir, pour les employer à ce travail, une foule considérable d'ouvriers des autres nations.

17. Comme il avait besoin de beaucoup d'argent pour cette entreprise et pour d'autres, qu'il était d'ailleurs également grand dans ses entreprises et dans ses dons, et qu'en même temps il craignait que les citoyens les plus puissants ne conspirassent contre lui à cause de cette conduite, il fit périr plusieurs hommes de bien. Je passerai les autres sous silence (c'était auprès de lui un crime commun à tous que d'avoir de la vertu, des richesses, de la naissance, et tous ou se donnèrent eux-mêmes la mort, ou furent tués par d'autres); mais je parlerai de Corbulon, des Sulpicius, de Rufus et Proclus Scribonius. Je parlerai des deux derniers, parce qu'étant frères et, pour ainsi dire, du même âge, n'ayant jamais rien fait l'un sans l'autre, unis par la naissance, aussi bien que par l'inclination et la fortune, ils gouvernèrent longtemps ensemble les deux Germanies, et vinrent en Grèce, mandés par Néron, sous prétexte qu'il avait besoin d'eux; puis, accusés des crimes du temps, sans avoir parlé au prince ni paru devant lui, outragés

ses collègues (LIX, 26), à l'instigation de Protogène. — 4. Slbg. : « Suspectum est οὐσίᾳ, convenientius συνουσίᾳ, ὁμονοίᾳ, vel simile quid. » Rsk. propose : τῇ τ' ἐξουσίᾳ συμπεφυκότες (καὶ γὰρ Γερμανίας ἀμφοτέρας ἐπὶ πολὺ ἅμα διῴκησαν)· ἦλθον...

5. Bkk. et Ddf; Henri Étienne : ὥς γε; Rm. : ὥς γε ou ὡς καί. St. avait d'abord écrit ὥσπερ, puis il a rétabli la vulgate : ὥστε. — 6. Slbg : « Partitive dictum videri potest; sequens tamen οἷα relativum, videtur potius postulare ἐγκλήματα [donné par *k* et adopté par St.]. » Henri Étienne : ἐγκλήματος λαχόντες.

ὀφθαλμοὺς τοῦ Νέρωνος ἀφικνούμενοι, καὶ διὰ τοῦθ' ὑφ' ἁπάντων ὁμοίως ἀτιμαζόμενοι, ἀποθανεῖν τε ἐπεθύμησαν, καὶ ἐτελεύτησαν τὰς φλέβας αὐτῶν σχάσαντες· τοῦ δὲ δὴ Κορβούλωνος, ὅτι καὶ ἐκεῖνον ἐντιμότατα μεταπεμψάμενος, καὶ τά τε ἄλλα καὶ πατέρα καὶ εὐεργέτην αὐτὸν ἀεὶ ὀνομάζων, ἔπειτ' ἐπειδὴ τῇ Κεγχρέᾳ προσέσχε, σφαγῆναι, πρὶν καὶ ἐς ὄψιν αὐτῷ ἐλθεῖν, προσέταξε· κιθαρῳδήσειν γὰρ ἔμελλεν[1], ὥς τινες λέγουσι, καὶ οὐχ ὑπέμεινεν αὐτῷ τὸ ὀρθοστάδιον[2] ἔχων ὀφθῆναι. Καὶ ὃς ἐπειδὴ τάχιστα τὸ προστεταγμένον ἔγνω, ξίφος τε ἔλαβε, καὶ ἑαυτὸν ἐῤῥωμένως παίων, ἔλεγεν, « Ἄξιος »· τότε γὰρ δὴ τότε[3] πρῶτον ἐπίστευσεν, ὅτι κακῶς ἐπεποιήκει, καὶ φεισάμενος τοῦ κιθαρῳδοῦ, καὶ π ὸς αὐτὸν ἐλθὼν ἄνοπλος[4].

18. Ἐν μὲν δὴ τῇ Ἑλλάδι ταῦτ' ἐπράττετο· τί γὰρ δεῖ λέγειν, ὅτι καὶ τὸν Πάριν τὸν ὀρχηστὴν ἀποθανεῖν ἐκέλευσεν, ὅτι ὀρχεῖσθαι παρ' αὐτῷ μαθεῖν ἐθελήσας, οὐκ ἠδυνήθη[5]; τί δ' ὅτι Καικίναν Τοῦσκον ὑπερώρισεν, ὅτι τῆς Αἰγύπτου ἄρχων, ἐλούσατο ἐν τῷ βαλανείῳ, ᾧ ἐκείνῳ ὡς καὶ ἐς τὴν Ἀλεξάνδρειαν ἥξοντι, ἐποιήθη[6]; Ἐν δὲ τῇ Ῥώμῃ κατὰ τὸν αὐτὸν χρόνον ὁ Ἥλιος ἄλλα τε πολλὰ καὶ δεινὰ εἰργάσατο, καὶ Σουλπίκιον Καμερῖνον[7] ἄνδρα τῶν πρώ-

1. Bkk.; vulg. et Ddf : ἤμελλεν.

2. Selon Pollux : ὁ οὐ ζωννύμενος; selon Suidas et Hésychius : ὀρθοστάδιος οἱ στατοὶ χιτῶνες; Hésychius ajoute : ὑπόκομμα ἔχοντες, en place duquel plusieurs éditeurs veulent lire οὐκ ἔχοντες, d'autres οἱ στατὸν ὑπόθεμα ἔχοντες. — 3. Slbg., Bkk. et Ddf; vulg. : δή ποτε.

4. St. : « Quum multo sæpius apud Dionem ἄοπλος legatur, libenter feram, si quis ἄοπλος etiam hoc loco scribat. Vide tamen Lobeckii Pa-

de tous pareillement à cause de cette disgrâce, ils aimèrent mieux mourir et terminèrent leur vie en s'ouvrant les veines; de Corbulon, parce que, mandé avec de grands témoignages d'estime par Néron, qui ne cessait de l'appeler son père et son bienfaiteur, quand il aborda à Cenchrée, avant qu'il parût en présence du prince, ordre fut donné de le mettre à mort. Néron, disent certains historiens, était alors sur le point de jouer de la lyre, et il ne souffrait pas d'être vu par Corbulon en habit orthostadien. Corbulon, aussitôt qu'il comprit l'intention de l'empereur, saisit son épée et s'en porta un coup vigoureux, en disant : « Je l'ai mérité ; » car alors, pour la première fois, il crut qu'il avait mal fait d'épargner un joueur de lyre et d'être venu le trouver sans armes.

18. Voilà de quelle manière Néron se conduisait en Grèce; qu'est-il nécessaire, en effet, de dire qu'il fit mourir le danseur Paris, parce qu'ayant voulu apprendre de lui à danser, il n'avait pas pu réussir; qu'il exila Cæcina Tuscus, parce qu'étant gouverneur d'Égypte, il s'était baigné dans un bain qu'on avait construit pour Néron dans l'attente de son arrivée à Alexandrie? A Rome, Hélius, entre une foule d'autres cruautés qu'il exerçait, fit mourir Sulpicius Camérinus, un des pre-

rerga ad Phrynichum, p. 729. » — 5. Suétone, 54 : « Sunt, qui tradant, Paridem histrionem occisum ab eo, quasi gravem adversarium. »

6. Suétone, 35 : « Tuscum, nutricis filium, relegavit, quod in procuratione Ægypti, balneis in adventum suum exstructis lavisset. »

7. Il avait été proconsul d'Afrique. Accusé devant Néron, il avait été absous. Ryckius, notes sur Tacite (Ann. XIII, 52), le croit fils de Q. Sulpicius Camérinus, consul l'an de Rome 762.

R.p.1040 των μετὰ τοῦ υἱέος ἀπέκτεινεν, ἐγκαλέσας σφίσιν, ὅτι Πυθικοὶ ἐκ προγόνων ἐπικαλούμενοι, οὐκ ἐπαύσαντο τὸ πρόσρημα τοῦτ' ἔχοντες, ἀλλ' ἐς τὰς τοῦ Νέρωνος νίκας τὰς Πυθικὰς ἐκ τῆς ὁμωνυμίας ἠσέβουν. Τῶν δὲ Αὐγουστείων ἄγαλμα αὐτοῦ χιλίων[1] λιτρῶν ποιήσειν ὑποσχομένων, πᾶν τὸ ἱππικὸν ἠναγκάσθη συντελέσαι σφίσι τὸ ἀνάλωμα. Τὰ δὲ δὴ τῆς γερουσίας, ἔργον καθ' ἕκαστον ἐπεξελθεῖν· τοσαῦται γὰρ θυσίαι καὶ ἱερομηνίαι ἐπεγγέλθησαν, ὥστε μηδ' ὅλον τὸν ἐνιαυτὸν ἐξαρκέσαι.

19. Ὁ δὲ Ἥλιος πολλάκις μὲν καὶ πρότερον ἐπέστειλεν[2] αὐτῷ, παραινῶν ὅτι τάχιστα ἀνακομισθῆναι· ὡς δ' οὐκ ἐπείθετο, ἦλθεν αὐτὸς ἐς τὴν Ἑλλάδα ἑβδόμῃ ἡμέρᾳ, καὶ ἐξεφόβησεν αὐτὸν, εἰπὼν μεγάλην τινὰ ἐπιβουλὴν ἐν τῇ Ῥώμῃ παρασκευάζεσθαι κατ' αὐτοῦ· ὥστε παρευθὺς ἐς τὴν Ἰταλίαν ἀποπλεῦσαι[3]. Καὶ ἐγένετο μέν τις ἐλπὶς ὑπὸ χειμῶνος αὐτὸν φθαρήσεσθαι, μάτην δὲ πολλοὶ ἤσθησαν[4]· ἐσώθη γάρ. Καί τισι καὶ αὐτὸ τοῦτο ὀλέθρου αἴτιον ἐγένετο, ὅτι καὶ ηὔξαντο[5] καὶ ἤλπισαν[6] αὐτὸν ἀπολεῖσθαι.

20. Ἐπεὶ δ' οὖν ἐς τὴν Ῥώμην ἐσῆλασε, τοῦ τε τείχους τι καθῃρέθη καὶ τῶν πυλῶν περιερράγη, νενομίσθαι τινῶν

1. Rsk. : αὐτοῦ χρυσοῦν ἀπὸ χιλίων; Rm., conjecture reproduite en note par Bkk. : « Materia non additur; sed puto excidisse χρυσοῦν. Sic de Commodo, Neronem in multis imitante [LXXII, 15], ἀνδρίας τε αὐτῷ χρυσοῦν χιλίων λιτρῶν ἐγένετο. »

2. Rm. (*Addenda*) : « Aut ἀπέστειλεν scribendum, aut δ' delendum. » Rsk. approuve ἀπέστειλεν, que Bkk. reproduit en note comme conjecture. Dans Suétone, 23, Néron répond à Hélius : « Quamvis nunc tuum con-

miers citoyens, avec son fils, leur faisant un crime de ce que, tenant de leurs ancêtres le surnom de Pythiques, ils n'avaient pas cessé de le porter, et commettaient, par cette similitude de nom, une impiété envers les victoires pythiques de Néron. Les *Augustani* ayant promis d'élever en l'honneur de Néron une statue de mille livres, tout l'ordre équestre fut forcé de contribuer à la dépense. Quant aux actes du sénat, il serait difficile de les rapporter en détail; il décréta tant de sacrifices et de supplications, que l'année entière n'y aurait pas suffi.

19. Hélius avait écrit plusieurs fois auparavant à Néron pour l'engager à revenir au plus vite; mais, comme il ne se rendit pas à son invitation, il vint lui-même en Grèce en sept jours, et l'effraya de telle sorte par le récit d'une conjuration qui avait été formée à Rome contre lui, que le prince partit à l'heure même pour repasser en Italie. On eut quelque espoir qu'une tempête le ferait périr, mais la joie de beaucoup fut vaine; il échappa. Quelques-uns même furent mis à mort, rien que pour avoir souhaité et espéré sa perte.

An de Rome 821. C. Silius Italicus et Galérius Trachalus consuls

20. Quand il arriva près de Rome, une partie des murs fut abattue et les portes arrachées, parce que, au

silium sit et votum celeriter reverti me, tamen suadere et optare potius debes, ut Nerone dignus revertar. »

3. Rsk. : ἀπέπλευσε. — 4. Rsk. : ἡσθησαν, tout en reconnaissant que ἤλπισαν peut se défendre, attendu que l'attente d'un bonheur ne nous cause pas moins de joie que le bonheur présent. — 5. Ddf; vulg. : εὔξαντο. — 6. Suétone, 25 : « Albis equis, disjecta parte muri, ut mos hieronicarum est. »

λεγόντων ἑκάτερον τοῖς ἐκ τῶν ἀγώνων στεφανηφόροις γίνεσθαι. Καὶ ἐσεφοίτησαν πρῶτοι μὲν οἱ τοὺς στεφάνους, οὓς ἀνήρητο[1], κομίζοντες, καὶ μετ' αὐτοὺς ἕτεροι σανίδια ἐπὶ[2] δοράτων ἀνατείνοντες, ἐφ' οἷς ἐπεγέγραπτο τό τε ὄνομα τοῦ ἀγῶνος, καὶ τὸ εἶδος τοῦ ἀγωνίσματος, ὅτι τε Νέρων Καῖσαρ πρῶτος πάντων τῶν ἀπὸ τοῦ αἰῶνος Ῥωμαίων ἐνίκησεν αὐτό. Ἔπειτα αὐτὸς ἐφ' ἅρματος ἐπινικίου, ἐν ᾧ ποτὲ ὁ Αὔγουστος τὰ πολλὰ ἐκεῖνα νικητήρια ἐπεπόμφει, ἁλουργίδα χρυσόπαστον ἔχων; καὶ κότινον ἐστε-
R.p.1041 φανωμένος, τὴν Πυθικὴν δάφνην προτείνων[3]· καὶ αὐτῷ ὁ Διόδωρος[4] ὁ κιθαρῳδὸς παρωχεῖτο. Καὶ οὕτω διά τε τοῦ ἱπποδρόμου καὶ διὰ τῆς ἀγορᾶς, μετά τε τῶν στρατιωτῶν, καὶ μετὰ τῶν[5] ἱππέων, τῆς τε βουλῆς διελθὼν, ἐς τὸ Καπιτώλιον ἀνέβη, καὶ ἐκεῖθεν ἐς τὸ Παλάτιον[6], πάσης μὲν τῆς πόλεως ἐστεφανωμένης καὶ λυχνοκαυτούσης καὶ θυμιώσης, πάντων δὲ τῶν ἀνθρώπων, καὶ αὐτῶν τῶν βουλευτῶν ὅτι μάλιστα συμβοώντων, « Οὐᾶ[7] Ολυμπιονίκα, οὐᾶ Πυθιονίκα, οὐᾶ Αὔγουστε, Αὔγουστε. Νέρωνι τῷ Ἡρακλεῖ, Νέρωνι τῷ Ἀπόλλωνι. Ὡς εἷς περιοδονίκης,

1. Rsk., Bkk. et Ddf; vulg. : ἀνῄρουν; Slbg. : ἀνῆρεν, se rapportant à Néron; Saumaise : ἀνήρει.

2. Vulg. : σανίδιά τε [Bkk. et Ddf mettent ce dernier mot entre crochets] ἐπί. — 3. La couronne d'olivier était celle des jeux Olympiques. Néron la porte comme la première de toutes, attendu que ces jeux étaient consacrés à Jupiter, maître des dieux. — 4. Suétone, 25 : « Reversus Græcia Neapolin, quod in ea primum artem protulerat, albis equis introiit, disjecta parte muri, ut mos hieronicarum est. Simili modo Antium, inde Albanum, inde Romam. Sed Romam eo curru, quo Augustus olim triumphaverat, et in veste purpurea, distinctaque stellis aureis chlamyde,

dire de quelques-uns, les lois ordonnent de faire l'un et l'autre en l'honneur de ceux qui ont été couronnés dans les jeux. Les premiers qui entrèrent furent ceux qui portaient les couronnes reçues par Néron; après eux, marchaient des gens qui soutenaient au bout de leurs lances des tableaux sur lesquels étaient inscrits le nom et le genre de combat où Néron César avait, le premier de tous depuis qu'il existait des Romains, remporté la victoire. Ensuite venait Néron en personne, sur le même char qui avait autrefois servi à Auguste pour plusieurs triomphes fameux, vêtu d'un tissu de pourpre et d'or, couronné d'olivier, et tenant en main le laurier pythique; il avait à côté de lui sur son char Diodore le joueur de lyre. Après avoir, dans cet équipage, traversé le cirque et le Forum, suivi des soldats, des chevaliers et des sénateurs, il monta au Capitole et de là se rendit au Palatin, tandis que toute la ville était décorée de couronnes, éclairée de lumières et remplie de parfums, tandis que tout le peuple, et surtout les sénateurs, faisait retentir ces accclamations: « Oh! Olympionique, Pythonique, oh! Auguste, Auguste. A Néron Hercule, à Néron Apollon. Tu es seul périodonique, oui, seul de

coronamque capite gerens Olympiacam, dextra manu Pythiam, præeunte pompa ceterarum cum titulis, ubi et quos, quo cantionum, quove fabularum argumento vicisset; sequentibus currum ovantium ritu plausoribus, Augustanos, militesque se triumphi ejus clamitantibus. » Cf. ch. 8.

5. *a*, *b* om. : καὶ μετὰ τῶν. — 6. Suétone continue : « Dehinc, diruto circi Maximi arcu, per Velabrum Forumque, Palatium et Apollinem petiit. » — 7. Bkk. et Ddf; vulg. om.

εἰς ἀπ' αἰῶνος [1], Αὔγουστε, Αὔγουστε · ἱερὰ φωνή · μακάριοι οἱ σοῦ ἀκούοντες. » Τί γὰρ δεῖ περιπλέκειν, καὶ οὐκ αὐτὰ τὰ λεχθέντα δηλοῦν ; Οὐδὲ γὰρ οὐδ' αἰσχύνην [2] τινὰ τῇ συγγραφῇ τὰ [3] ῥηθέντα, ἀλλὰ καὶ κόσμον τὸ μηδὲν αὐτῶν ἀποκρυφθῆναι φέρει.

21. Ἐκτελέσας δὲ ταῦτα, ἱπποδρομίας ἐπήγγειλε, καὶ τοὺς στεφάνους, τούτους τε καὶ τοὺς ἄλλους πάντας, ὅσους ἅρμασι νικήσας εἰλήφει, ἐς τὸν ἱππόδρομον ἐσήνεγκε, καὶ τῷ ὀβελίσκῳ τῷ Αἰγυπτίῳ περιέθηκε [4] · καὶ ἦσαν ὀκτὼ καὶ ὀκτακόσιοι καὶ χίλιοι [5]. Ποιήσας δὲ ταῦτα, ἡνιόχησε. Λάρκιος δέ τις Λυδὸς προσῆλθεν αὐτῷ, πέντε καὶ εἴκοσι μυριάδας προσφέρων, ἵνα κιθαρῳδήσῃ [6] · καὶ ὃς τὸ μὲν ἀργύριον οὐκ ἔλαβεν, ἀπαξιώσας μισθοῦ τι ποιῆσαι (καὶ διὰ τοῦτο Τιγελλῖνος αὐτὸ ἐσέπραξεν, ἵνα μὴ αὐτὸν ἀποκτείνῃ), ἐς μέντοι τὸ θέατρον καὶ ὡς ἐσελθὼν, καὶ ἐκιθαρῴδησε καὶ ἐτραγῴδησεν · ἐπεὶ τοῖς γε ἵπποις οὐκ ἔστιν ὅτε οὐχ ἡμιλλᾶτο. Ἔστι δ' ὅτε καὶ ἑκὼν ἡττᾶτο, ὅπως τά γε ἄλλα τὰ πλείω πιστεύηται [7] ἐπ' ἀληθείας κρατεῖν.

1. Rm. : « Hæc satis sana, quantum video, sic immutanda censuit Salmasius ad Trebellium Poll., p. 412, ζώσης, περιοδονικήσης ἐπ' αἰῶνας. » Rsk. : ὡς εἰς περιοδονίκης, εἰς ἀπ' αἰῶνος ; et il renvoie à ses notes sur le Cérémonial de Constantin. Néanmoins il croit qu'on peut aussi remplacer ὡς par καλῶς, *bene eveniat Herculi Neroni, bene eveniat Apollini Neroni*. Dans sa note 105, Rm. justifie encore la vulgate par la citation de plusieurs passages de notre auteur et par celle d'inscriptions.

2. Bkk. et Ddf ; vulg. : Οὐδὲ γὰρ οὐδὲ αἰσχύνη.

3. *a* om.

4. Obélisque qu'Auguste fit transporter d'Hiéropolis, en Égypte, à

tout temps, Auguste, Auguste ! voix sacrée ! Heureux ceux qui t'entendent ! » Pourquoi, en effet, tourner autour de l'expression et ne pas citer les paroles mêmes dont la sincérité n'est pas un déshonneur, mais un ornement de plus pour l'histoire ?

21. Après avoir accompli ces exploits, Néron fit annoncer les jeux du cirque ; il y apporta les couronnes qu'ils lui avaient values et les autres qu'il avait gagnées aux courses de chars, et les attacha à l'obélisque égyptien ; ces couronnes étaient au nombre de mille huit cent huit. Après cela, il conduisit des chars. Alors un certain Larcius Lydus vint lui offrir cent cinquante mille drachmes pour chanter sur la lyre ; mais Néron refusa cet argent, jugeant indigne de lui de rien faire en vue d'un salaire (aussi Tigellinus exigea-t-il cette somme de Larcius pour ne pas le faire mourir) ; néanmoins il se rendit au théâtre où il chanta sur la lyre et joua la tragédie ; il prit même part à presque toutes les courses de chevaux. Parfois il se laissa vaincre, à dessein d'accréditer l'opinion que, le plus souvent, les autres fois, il remportait véritablement l'avantage.

Rome, et placer dans le cirque. Suétone, 25, est ici en désaccord avec Dion : « Sacras coronas in cubiculis circum lectos posuit ; » ce qui a engagé un commentateur à corriger : *in obelum circi injectas*, attendu, dit Rm, qu'il n'est pas du tout probable que les couronnes aient été déposées dans un lieu obscur et privé.

5. Toutes les couronnes des joueurs de lyre (fin du livre LXII, et Suétone, 22) étaient depuis longtemps envoyées à Néron.

6. Suétone, 21 : « Non dubitavit etiam privatis spectaculis operam inter scenicos dare, quodam prætorum sestercium decies offerente. »

7. St., Bkk. et Ddf ; vulg. : πιστεύσηται.

22. Ὁ μὲν οὖν Νέρων οὕτω τε[1] ἔζη, καὶ οὕτως ἐμο-
νάρχει· λέξω δὲ καὶ ὅπως κατελύθη καὶ ἐκ τῆς ἀρχῆς ἐξέ-
R.p.1042 πεσεν. Ἦν τις Γαλάτης ἀνὴρ Γάϊος Ἰούλιος Οὐίνδιξ[2], ἐκ
μὲν προγόνων[3] [Ἀκυτανὸς,] τοῦ βασιλικοῦ γένους[4], κατὰ
δὲ τὸν πατέρα βουλευτὴς τῶν Ῥωμαίων[5], τό τε[6] σῶμα
ἰσχυρὸς, καὶ τὴν ψυχὴν συνετὸς, τῶν τε πολεμικῶν ἔμπει-
ρος, καὶ πρὸς πᾶν ἔργον[7] μέγα εὔτολμος· [τό τε φιλελεύ-
θερον καὶ τὸ φιλότιμον πλεῖστον εἶχεν· ὃς προέστη τῶν
Γαλατῶν.] Οὗτος ὁ Οὐίνδιξ[8] συναθροίσας τοὺς Γαλάτας
πολλὰ πεπονθότας τε ἐν ταῖς συχναῖς ἐσπράξεσι τῶν χρη-
μάτων, καὶ ἔτι πάσχοντας ὑπὸ Νέρωνος, καὶ ἀναβὰς ἐπὶ
βῆμα, μακρὰν διεξῆλθε κατὰ τοῦ Νέρωνος ῥῆσιν[9], λέγων
δεῖν ἀποστῆναί τε αὐτοῦ, καὶ ἅμα οἱ ἐπιστῆναι[10], « Ὅτι,
φησὶ, πᾶσαν τὴν τῶν Ῥωμαίων οἰκουμένην σεσύληκεν, ὅτι
πᾶν τὸ ἄνθος τῆς βουλῆς αὐτῶν ἀπολώλεκεν, ὅτι τὴν μη-
τέρα τὴν ἑαυτοῦ καὶ ἦσχυνε καὶ ἀπέκτεινε, καὶ οὐδ' αὐτὸ
τὸ σχῆμα τῆς ἡγεμονίας σώζει. Σφαγαὶ μὲν γὰρ καὶ ἁρ-

1. Bkk. et Ddf; vulg. : οὕτως τε. — 2. Bkk. et Ddf, constamment, vulg. : Βίνδιξ, constamment aussi. — 3. Ddf et Peir. : Ἰούλιος [omettant, avec Tacite, Suétone, Plutarque, Pline, le prénom Γάϊος que donne Zn., Glandorp, d'après Lampride, Alex. Sévère, lui donne celui de Lucius] Οὐίνδιξ ἦν ἀνὴρ ἐκ μὲν προγόνων. Dans *c* et dans *f* un blanc indique l'omission de Ἦν .... ἀνήρ. — 4. Peir. et Ddf : φύλου. — 5. Rm. : « Deesse hic quædam, alia corrupta videntur, quæ forte ad hunc modum restituentur : ἐκ μὲν προγόνων κατὰ τὴν μητέρα (vel μητρῴων) Ἀκυτανὸς, τοῦ βασιλικοῦ γένους, κατὰ δὲ τὸν πατέρα βουλευτικοῦ Ῥωμαῖος, vel βουλευτὴς τῶν Ῥωμαίων. Zonaras tantum de paterno genere refert et pariter βουλευτὴν τῶν Ῥωμ. scribit. » — 6. Peir. om. — 7. Peir. : ἔργων.

8. Zn. : Ὁρῶν τοὺς ὁμοφύλους Γαλάτας ὀργῶντας πρὸς ἀποστασίαν, δι' ὧν ἐδημηγόρησεν ἠρέθισεν αὐτούς· καὶ ὤρκωσε πάντα ὑπὲρ τῆς βουλῆς καὶ

« accompagnait leur marche en qualité de consul. » — 5. L'auteur reprend le récit, un instant interrompu, des actions de Vespasien parti en Égypte (LXV, 9), après avoir remis à son fils le soin de la guerre contre les Juifs.

6. *a*, *b*, *k* : πηλὸν προσπτύσας, qui, suivant Slbg., est peut-être la véritable leçon. Bien que Rm. prétende qu'il y a manque de liaison avec le reste du passage, Rsk. soutient que προσπτύσας offre un bon sens, tout en proposant πηλὸν προσπλάσας. Sur ces prétendus miracles de Vespasien, cf. Suétone, 7, et Tacite, IV, 81.

κήσαντες γὰρ μέγα τι παρ' αὐτοῦ λήψεσθαι, ὅτι πρῶτοι αὐτὸν αὐτοκράτορα ἐπεποιήκεσαν, οὐ μόνον οὐδὲν εὗροντο, ἀλλὰ καὶ προσεπράσσοντο χρήματα. Πολλὰ μὲν γὰρ
R.p.1083 καὶ ἄλλως παρ' αὐτῶν ἐξέλεξε, μηδένα ἄπορον, μηδ' εἰ ἐπαίτης[1] τις ἦν, παραλιπὼν[2], ἀλλὰ καὶ ἐκ τῶν ὁσίων πάντων καὶ ἐκ τῶν ἱερῶν ὁμοίως χρηματιζόμενος· πολλὰ δὲ καὶ τέλη[3], τὰ μέν τινα ἐκλελειμμένα ἀνενεώσατο, τὰ δὲ καὶ νομιζόμενα προσεπηύξησε, [καινά τε ἕτερα προσκατεστήσατο[4].] Τὸ δ' αὐτὸ τοῦτο καὶ ἐν τῇ ἄλλῃ ὑπηκόῳ, [τῇ τε Ἰταλίᾳ[5]] καὶ αὐτῇ τῇ[6] Ῥώμῃ μετὰ τοῦτ' ἐποίησεν. Οἱ δ' οὖν[7] Ἀλεξανδρεῖς[8], [διά τε ἐκεῖνα[9], καὶ ὅτι καὶ τῶν βασιλείων τὸ πλεῖστον ἀπέδοτο, χαλεπῶς φέροντες,] ἄλλα τε ἐς αὐτὸν ἀπερρίπτουν[10], καὶ ὅτι « Ἓξ ὀβολοὺς[11] προσαιτεῖς· » ὥστε καὶ[12] τὸν Οὐεσπασιανὸν, καίπερ ἐπιεικέστατον ὄντα, χαλεπῆναι, καὶ κελεῦσαι μὲν[13] καὶ τοὺς ἓξ ὀβολοὺς κατ' ἄνδρα ἐσπραχθῆναι, βουλεύσασθαι δὲ καὶ τιμωρίαν αὐτῶν ποιήσασθαι· [αὐτά τε γὰρ τὰ λεγόμενα προπηλακισμὸν εἶχε, καὶ ἐκ τοῦ κατακεκλασμένου τοῦ τε ἀναπαίστου σφῶν οὐκ ἔστιν ὅ τι οὐκ ὀργὴν οἱ ἐνεποίει.] Τοῦ δ' οὖν Τίτου ἐξαιτησαμένου αὐτοὺς, τούτων ὁ Οὐεσπασιανὸς ἐφείσατο[14]. Ἐκεῖνοι δ' αὐτοῦ οὐκ

1. Peir. : μηδὲ ἄπορον, μηδὲ τὸν τυχόντα, μηδ' εἰπαίτιος (sic), variante inexactement citée dans Rm. : « Μηδένα ἄπορον. Ita reposui ex Exc. Peir. pro vulgato, μηδένα πόρον, absorptum a præcedenti μηδένα. »

2. Peir. : παραλείπων. — 3. *a*, *b* : καὶ τὰ τέλη. Cf. Suétone. 16.

4. Zn. : καινά τε προσέθετο ἕτερα. — 5. Les mots τῇ Ἰταλίᾳ ont été ajoutés d'après Zn.; Ddf les omet. — 6. *a*, *b* : ἔν τε τῇ. — 7. Bkk. et Ddf; vulg. : Οἱ γοῦν. — 8. Peir. om. : Οἱ δ' οὖν Ἀλεξανδρεῖς.

récompenses de sa part, pour l'avoir les premiers reconnu empereur, non-seulement ils n'en avaient reçu aucune, mais encore on avait exigé d'eux des tributs. Vespasien, en effet, leva sur eux indifféremment une foule d'impôts, sans faire exception d'aucun pauvre, ni même d'aucun mendiant; mettant également à contribution les biens publics et les biens sacrés, il alla jusqu'à rétablir beaucoup d'impôts, dont quelques-uns avaient été abolis, et à en augmenter d'autres qui étaient en vigueur, [il en frappa même de nouveaux.] Il fit la même chose ensuite dans les autres pays soumis, [en Italie,] et même jusque dans Rome. Les Alexandrins, [irrités de ces mauvais traitements et aussi de ce qu'il avait vendu la plus grande partie des domaines royaux,] lancèrent cette raillerie, entre beaucoup d'autres : « Tu exiges six oboles de trop, » ce qui causa une telle irritation à Vespasien, malgré sa grande douceur, qu'il donna l'ordre de percevoir les six oboles par tête et délibéra sur la punition à leur infliger. [Ces paroles, en effet, renfermaient un outrage, et, dans tous leurs mètres brisés et leurs anapestes, il n'y avait rien que de capable d'exciter sa colère.] Mais, à la demande de Titus, il leur fit grâce. Les Alexandrins ne l'épargnèrent pas malgré cela ; réunis

9. Peir. : διά τε οὖν ἐκεῖνα. — 10. Rsk., Peir., St., Bkk. et Ddf; vulg.: ἀποῤῥίπτουν. — 11. Il y a ici, suivant M. Egger, ou un calembour (ἐξ ὀβολοῦ; comme ἔξω βέλους « fort à ton aise »), ou une allusion à quelque impôt inconnu. Quant au texte qui suit entre crochets, il est évidemment corrompu. — 12. Peir. om. — 13. Peir. om.

14. Peir. et Ddf : Οἱ δ' Ἀλεξανδρεῖς τοῦ Οὐεσπασιανοῦ [le ms. : Βεσπασιανοῦ, constamment], οὐκ.

ἀπέσχοντο, ἀλλὰ μέγα πάνυ ἀθρόοι ἐν συνόδῳ τινὶ κοινῇ πρὸς τὸν Τίτον ἐξεβόησαν, εἰπόντες αὐτὸ τοῦτο· « Συγγινώσκομεν αὐτῷ· οὐ γὰρ οἶδε Καισαρεύειν. » Καὶ οἱ μὲν οὕτω τότ'[1] ἐῤῥιψοκινδύνουν, καὶ τῆς ἀσελγείας[2], ὑφ' ἧς
R.p.1084 ἀεί ποτε κακῶς ἀπαλλάττουσιν, ἄδην ἐνεφοροῦντο, τῇ τοῦ αὐτοκράτορος ἐπιεικείᾳ ἀποχρώμενοι.

9. [Ὁ δὲ ἐκείνους[3] μὲν εἴα, ἐς δὲ τὴν Ῥώμην ἐπέστειλε, τήν τε ἀτιμίαν τῶν καταψηφισθέντων ἐπὶ ταῖς λεγομέναις ἀσεβείαις ὑπὸ Νέρωνος καὶ τῶν μετὰ ταῦτα ἀρξάντων, τῶν τε ζώντων καὶ τῶν τεθνεώτων ὁμοίως ἀπαλείφων, καὶ τὰς γραφὰς τὰς ἐπὶ τοιούτοις ἐγκλήμασι καταλύων. Τούς τε ἀστρολόγους ἐκ τῆς Ῥώμης ἐξώρισε, καίτοι πᾶσι τοῖς ἀρίστοις αὐτῶν χρώμενος, ὥστε καὶ διὰ Βάρβιλλόν[4] τινα ἄνδρα τοιουτότροπον ἀγῶνα τοῖς Ἐφεσίοις ἱερὸν ἄγειν συγχωρῆσαι· ὅπερ οὐδεμιᾷ ἄλλῃ πόλει ἔνειμεν[5].] Ὁ δὲ Οὐεσπασιανὸς μετὰ ταῦτα[6] ἐς τὴν Ῥώμην ἐσεληλύθει[7], καὶ Μουκιανῷ μὲν ἄλλοις τε τῶν πρώτων ἐν τῷ Βρεντεσίῳ ἐνέτυχε, Δομιτιανῷ δὲ ἐν Βενουέντῳ. Ὑπὸ γὰρ τοῦ συνειδότος ὧν τε ἐφρόνει καὶ ὧν ἐπεποιήκει, οὔτε ἐθάρσει, καὶ προσέτι καὶ μωρίαν ἔστιν ὅτε προσεποιεῖτο. Ἐν γοῦν τῷ Ἀλβανῷ χωρίῳ τὰ πλεῖστα διάγων, ἄλλα τε πολλὰ

1. Peir. : τοῦτ'. — 2. Les Égyptiens, et surtout les habitants d'Alexandrie, sont cités dans l'antiquité pour leur penchant à la raillerie. Hérodien, IV, 9, s'exprime ainsi à leur sujet : Πεφύκασι δὲ πῶς εἶναι φιλοσκώμμονες, καὶ λέγειν εὐστόχως ὑπογραφὰς ἢ παιδιάς, ἀπορῥίπτοντες εἰς τοὺς ὑπερέχοντας πολλὰ χαρίεντα μὲν αὐτοῖς δοκοῦντα, λυπηρὰ δὲ τοῖς σκωφθεῖσι.

3. Rm. et St. : Ὁ δὲ Οὐεσπασιανὸς ἐκείνους. — 4. Serait-ce le même que l'astrologue Babilus, dont parle Suétone, Néron, 36?

en foule dans une assemblée publique, ils crièrent ces mots à Titus : « Nous lui pardonnons; car il ne sait pas faire le César. » C'est ainsi qu'ils s'exposaient témérairement au péril, et qu'ils se laissaient emporter sans retenue à une médisance dont les suites finissent toujours par être funestes, abusant de la clémence de l'empereur.

9. [Vespasien les laissa dire et écrivit à Rome, pour restituer l'honneur à ceux qui, morts ou vivants, avaient été, sous Néron et sous ses successeurs, condamnés comme coupables de ce qu'on appelait le crime de lèse-majesté, et pour abolir toutes les accusations de cette sorte. Il bannit aussi de Rome les astrologues, bien qu'étant lui-même en rapport avec les plus célèbres d'entre eux, au point de concéder aux Éphésiens des jeux sacrés, à la recommandation de Barbillus, qui faisait profession de cette science, ce qu'il ne permit à aucune autre ville.] Vespasien se rendit ensuite à Rome; il rencontra Mucien et les autres principaux citoyens à Brundusium et Domitien à Beneventum. Quant à ce dernier, la conscience de ses projets et de sa conduite passée lui inspirait de l'hésitation et parfois même lui faisait feindre d'avoir perdu l'esprit. Aussi séjournait-il la plus grande partie du temps dans sa terre d'Albe,

5. Dans Valois et dans le ms. Peir., le fragment qui se termine par ἔνειμεν est immédiatement suivi de celui (ch. 2) qui commence par Ὅτι Μουκιανός [Rm. et St. : Ὁ δὲ Μουκιανός] τιμᾶσθαι. — 6. Rm. et St. : Μετὰ δὲ ταῦτα, au lieu de Ὁ δὲ Οὐεσπασιανὸς μετὰ ταῦτα.

7. *a*, *b*, *i*, *k*, Bkk. et Ddf; vulg. : ἐληλύθει. Rm. : « Forte ἐλήλυθε aut ἐσελήλυθε. Sed ut vere dicam, suspectum mihi plane est hoc verbum. Mallem ἠπείγετο. » En effet, on attendait ἴθυνεν ou quelque autre verbe semblable.

καὶ γελοῖα ἔπραττε, καὶ τὰς μυίας γραφείῳ κατεκέντει[1]. Τοῦτο γὰρ, εἰ καὶ ἀνάξιον τοῦ τῆς ἱστορίας ὄγκου ἐστὶν, ἀλλ' ὅτι γε ἱκανῶς τὸν τρόπον αὐτοῦ ἐνδείκνυται, ἀναγκαίως ἔγραψα· καὶ μάλισθ' ὅτι καὶ μοναρχήσας ὁμοίως αὐτὸ ἐποίει. Ὅθεν οὐκ ἀχαρίτως τις εἶπε πρὸς τὸν ἐρωτήσαντα[2], τί πράττει Δομιτιανὸς, ὅτι « Ἰδιάζει τε[3] καὶ οὐδὲ μυῖα αὐτῷ παρακάθηται. »

10. Ὁ δὲ Οὐεσπασιανὸς ἐκείνου μὲν ἐταπείνου τὸ φρό-
R.p.1085 νημα, τοὺς δὲ ἄλλους πάντας οὐχ ὡς αὐτοκράτωρ, ἀλλ' ὡς ἰδιώτης, μνήμῃ τῆς προτέρας αὐτοῦ τύχης, ἐδεξιοῦτο. Τόν τε νεὼν τὸν ἐν τῷ[4] Καπιτωλίῳ εὐθὺς οἰκοδομεῖν ἤρξατο[5], αὐτός τε[6] τοῦ χοῦ πρῶτος ἐκφορήσας, καὶ δῆλον ὅτι, καὶ τοῖς ἐπιφανεστάτοις τὸ αὐτὸ τοῦτο ποιῆσαι κελεύσας, ἵνα καὶ τῷ λοιπῷ πλήθει ἀπαραίτητον τὸ διακόνημα γένηται. Μεγαλοφρονέστασα δ' ἀεί ποτε ἐς τὸ κοινὸν ὅσα ἐχρῆν ἀναλώσας[7], καὶ τὰς πανηγύρεις πολυτελέστατα διαθεὶς, εὐτελέστατα διητᾶτο, καὶ οὐδὲν ἔξω τῶν πάνυ ἀναγκαίων ἐδαπάνα[8]· καὶ διὰ τοῦτο οὐδὲ ἐν τοῖς καπηλείοις ἐφθόν τι

1. Rsk., St. et Ddf; vulg. et Bkk. : κατεκέντα.

2. *c*, *i*, *k*, Bkk. et Ddf; vulg. : ἐρωτῶντα. — 3. Henri Étienne, St., Bkk. et Ddf; vulg. : τι. — 4. Bkk.; vulg. et Ddf om. — 5. Rm., note 62, signale une erreur également commise par Suétone. Le témoignage de Tacite, Hist., IV, 53, et celui de Josèphe, VII, 5, § 6, permettent d'affirmer que les fondements du Capitole furent jetés en l'absence de Vespasien. On peut consulter les autres autorités citées par ce savant.

6. Bkk. et Ddf, d'après Slbg.; vulg. : τι. — 7. Suétone, 17 et 18, parle de sa libéralité envers toute sorte de personnes. On lit dans les *Excerpta Vat.* : Ὅτι Βεσπασιανὸς γέλωτα ὠφλίσκανεν ὁσάκις ἀναλίσκων ἔλεγεν ὅτι, Ἐκ τῶν ἐμαυτοῦ δαπανῶ. « Vespasien excitait les rires toutes les « fois que, faisant une dépense, il répétait : Je mets cela du mien. »

où, entre une foule d'autres distractions ridicules, il s'amusait à percer les mouches avec un poinçon. Bien que ce détail soit indigne de la gravité de l'histoire, comme il montre bien le caractère du personnage, j'ai dû nécessairement le rapporter d'autant plus que, parvenu à l'empire, il conserva cette habitude. D'où vient que, comme on demandait à quelqu'un : « Que fait Domitien ? » il répondit spirituellement : « Il est à son privé, il n'y a pas même une mouche en sa compagnie. »

10. Vespasien humiliait l'orgueil de son fils, mais il accueillait tous les autres moins en empereur qu'en simple particulier, se souvenant de son ancienne fortune. Il commença aussitôt de reconstruire le temple du Capitole, ayant lui-même le premier emporté de la terre sur son dos, ce qui obligeait évidemment les plus illustres personnages à en faire autant, afin que le reste de la multitude ne pût refuser ses services. Toujours grand quand il s'agissait de dépenses exigées par l'intérêt commun, et toujours magnifique quand il s'agissait de la célébration des jeux, il vivait lui-même avec beaucoup d'économie et ne dépensait rien en dehors du strict nécessaire : il ne permit de vendre dans les

8. Zn. : Τὴν μὲν οὖν Αἴγυπτον δι' ὀλίγου κατεστήσατο, καὶ σῖτον πολὺν εἰς τὴν Ῥώμην ἔπεμψεν ἀπ' αὐτῆς· τὸν δὲ υἱὸν αὐτοῦ Τίτον εἰς Ἱεροσόλυμα καταλελοιπὼς πορθῆναι αὐτὰ, τὴν ἐκείνων ἐνέμενεν ἅλωσιν, ἵνα μετὰ τοῦ υἱέος ἐπανέλθῃ πρὸς τὴν Ῥώμην. Τριβομένου δὲ χρόνου ἐν τῇ πολιορκίᾳ, τὸν μὲν Τίτον ἐν τῇ Παλαιστίνῃ κατέλιπεν, αὐτὸς δὲ ὁλκάδος ἐπιβὰς εἰς Λυκίαν ἔπλευσε, κἀκεῖθεν τὰ μὲν πεζῇ, τὰ δὲ πλοϊζόμενος εἰς τὸ Βρεντέσιον ἐκομίσθη. Ἐλθὼν δ' εἰς τὴν Ῥώμην, καὶ τοῖς στρατιώταις καὶ τῷ δήμῳ παρέσχηκε δωρεὰς, καὶ τὰ τεμένη καὶ τὰ δημόσια ἔργα τὰ πεπονηκότα ἀνελάμβανε, καὶ τὰ ἤδη ἐφθαρμένα ἐπανασκεύαζε, καὶ συντελουμένοις αὐτοῖς οὐ τὸ ἑαυτοῦ ἐπέγραφεν ὄνομα, ἀλλὰ τὸ τῶν πρώτως δομησαμένων [*sic*; οἰκοδομησαμένων ?]. Τάς τε οὐσίας τῶν ἐναντιωθέντων αὐτῷ καὶ ἐν ταῖς μάχαις πεσόντων τοῖς παισὶν ἐκείνων ἢ τοῖς ἄλλοις οἰκείοις ἀφῆκε· καὶ τὰ συμβόλαια τὰ τῷ

πλὴν ὀσπρίων πιπράσκεσθαι ἐπέτρεπε. Κἀκ τούτου καὶ τὰ μάλιστα διέδειξεν, ὅτι τὰς συλλογὰς τῶν χρημάτων οὐκ ἐς τὰς ἑαυτοῦ ἡδονὰς, ἀλλ' ἐς τὰς τοῦ δήμου χρείας ἐποιεῖτο. Καταστάσει δὲ τοῦ βίου τοιᾷδε ἐχρῆτο. Ὀλίγα μὲν ἐν τῷ Παλατίῳ ᾤκει, τὸ δὲ δὴ πλεῖστον ἐν τοῖς κήποις τοῖς καλουμένοις Σαλλουστείοις[1] διέτριβεν· κἀνταῦθα τὸν βουλόμενον οὐχ ὅτι τῶν βουλευτῶν, ἀλλὰ καὶ τῶν ἄλλων, ἐσεδέχετο· καὶ τοῖς πάνυ φίλοις καὶ πρὸ τῆς ἕω ἔν τε τῇ εὐνῇ κείμενος συνεγίνετο, καὶ ἕτεροι ἐν ταῖς ὁδοῖς αὐτὸν ἠσπάζοντο. Αἵ τε θύραι τῶν βασιλείων ἠνεῳγμέναι διὰ πάσης τῆς ἡμέρας ἦσαν, καὶ φρουρὸς οὐδεὶς ἐν αὐταῖς ἐγκαθεστήκει[2]. Ἔς τε τὸ συνέδριον διὰ παντὸς ἐφοίτα, καὶ περὶ πάντων αὐτοῖς ἐπεκοίνου, κἀν τῇ ἀγορᾷ πολλάκις ἐδίκαζεν. Ὅσα τε μὴ ἐδύνατο αὐτὸς ὑπὸ τοῦ γήρως ἀναλέγεσθαι, ἢ καὶ ὅσα ἀπὼν ἐπέστελλε τῇ βουλῇ, διὰ τῶν υἱέων[3] ὡς τὸ πολὺ ἐκέλευεν ἀναγινώσκεσθαι, τιμῶν κἀν τούτῳ αὐτήν[4]. Συσσίτους τε ἔκ τε αὐτῶν ἐκείνων καὶ ἐκ

δημοσίῳ προσήκοντα προσδιέφθειρε. Μεγαλοπρεπῶς δὲ εἰς τὸ κοινὸν ἀναλίσκων, εὐτελέστατα... ἐδαπάνα. « Il eut bientôt soumis l'Égypte, d'où il en-
« voya quantité de blé à Rome; il attendit que son fils Titus, à qui il
« avait laissé le soin de s'emparer de Jérusalem, s'en fût rendu maître,
« afin de revenir à Rome avec lui. Mais, le siége se prolongeant, il laissa
« son fils en Palestine, et, montant sur un vaisseau de transport, il fit
« voile pour la Lycie, d'où, tantôt par terre, tantôt par mer, il se ren-
« dit à Brundusium. Arrivé à Rome, il fit des largesses aux soldats et
« au peuple, restaura les temples et les monuments publics qui avaient
« été endommagés, rétablit ceux qui étaient tombés en ruines, et,
« l'œuvre terminée, il y inscrivit, au lieu de son nom, celui des pre-
« miers fondateurs. Quant aux biens de ses adversaires morts en com-
« battant, il les laissa à leurs enfants ou à ceux qui leur étaient unis par
« les liens de la parenté; il anéantit aussi les contrats de dettes envers

cabarets rien de cuit, hormis des légumes. Il fit clairement voir par là surtout que, s'il avait ramassé de l'argent, ce n'était pas pour ses plaisirs, mais pour les besoins publics. Voici comment il avait réglé sa vie. Il habitait peu le Palatin et passait la plus grande partie du temps dans ce qu'on appelait les Jardins de Salluste, où il recevait qui le voulait non-seulement des sénateurs, mais encore des personnes d'autre condition; il s'entretenait, le matin, encore dans son lit, avec ses plus intimes amis, les autres le saluaient dans les rues. Les portes de la demeure impériale étaient ouvertes tout le jour, et aucun garde n'était placé à l'entrée. Il allait assidûment au sénat et communiquait à ce corps toutes les affaires; souvent même il rendait la justice sur le Forum. Tout ce que la vieillesse l'empêchait de lire lui-même, tout ce que son absence l'obligeait d'écrire au sénat, c'étaient ses fils qui le plus souvent avaient ordre d'en donner connaissance, en quoi il avait intention de faire honneur à cette compagnie. Il admettait fréquemment à

« l'État. Large dans les dépenses pour le bien public, il se montrait éco-« nome.... » — 1. Jardins délicieux que Salluste, enrichi par sa préture d'Afrique, avait construits au pied du Quirinal, près de la porte Colline, et qu'affectionnaient les empereurs depuis Auguste. — 2. St.: « Ita legunt omnes. Etsi vero ἑστήκειν non tantum apud alios scriptores legitur, ut Homerum Iliad. Σ 559, 563, sed etiam apud Dionem [LX, 19], tamen in compositis magis Dioneum καθεστήκειν ut [XL, 12; XLIX, 20]. » Suétone, 12 : « Consuetudinem salutantes scrutandi, manente adhuc bello civili, omiserat. »

3. *a*, *b* : αὐτοῦ. — 4. C'était l'usage des empereurs d'adresser au sénat des messages qu'ils faisaient lire par les questeurs. Titus (Suétone, 6) : « Præcepta ad se prope omnium officiorum cura, quum patris nomine et epistolas ipse dictaret, et edicta conscriberet, orationesque in senatu recitaret etiam quæstoris vice. »

R.p.1086 τῶν ἄλλων καθ' ἑκάστην ἡμέραν[1] συχνοὺς ἐποιεῖτο[2], καὶ πολλάκις καὶ αὐτὸς παρὰ τοῖς πάνυ φίλοις ἐδείπνει.

11. Τό τε σύμπαν, τῇ προνοίᾳ τῶν κοινῶν αὐτοκράτωρ ἐνομίζετο· ἐς δὲ δὴ τἆλλα πάντα κοινὸς καὶ ἰσοδίαιτος σφίσιν ἦν. Καὶ γὰρ ἔσκωπτε δημοτικῶς[3], καὶ ἀντεσκώπτετο ἡδέως· εἴ τέ τινα γράμματα, οἷα εἴωθεν ἀνώνυμα ἐς τοὺς αὐτοκράτορας, προπηλακισμὸν αὐτῷ φέροντα ἐξετέθη ποτὲ, ἀντεξετίθει τὰ πρόσφορα, μηδὲν ταραττόμενος. Τοῦ τε Φοίβου προσελθόντος αὐτῷ καὶ ἀπολογουμένου, ὅτι ἐπὶ τοῦ Νέρωνος ἐσκυθρωπακότα ποτὲ αὐτὸν ἐπὶ τοῦ θεάτρου ἐν τῇ Ἑλλάδι, ἐφ' οἷς ἀσχημονοῦντα ἑώρα τὸν αὐτοκράτορα, ἐκέλευσε πρὸς ὀργὴν ἀπελθεῖν· τοῦ δὲ ἐρομένου «Ὅποι» «Ἐς κόρακας,» εἶπεν· ὑπὲρ τούτου οὖν ἀπολογουμένου τοῦ Φοίβου, οὔτε τι κακὸν αὐτὸν εἰργάσατο, οὔτε ἀπεκρίνατο αὐτῷ ἄλλο οὐδὲν, πλὴν αὐτὸ τοῦτο ὅτι, «Ἐς κόρακας ἄπελθε[4].» Τοῦ δὲ Οὐολογαίσου ἐπιστείλαντος αὐτῷ οὕτως, «Βασιλεὺς βασιλέων Ἀρσάκης Φλαουΐῳ Οὐεσπασιανῷ, χαίρειν[5],» οὔτε τι αὐτὸν ἠτιάσατο, καὶ ἀντέγραψε τὸν αὐτὸν τρόπον, μηδὲν τῶν τῆς ἀρχῆς ὀνομάτων προσθείς[6].

1. St. : « Καθ' ἑκάστην ἡμέραν. Hoc est *assidue*, i. q. sæpissime. Vide Baumgarten-Crusium ad Suet. Vespas. c. 19. »

2. Cf. Suétone, 19. — 3. Suétone, 22 et 23, nous a conservé plusieurs de ses bons mots.

4. Suétone. 14: « Trepidum eum interdicta aula sub Nerone, quærentemque, quidnam ageret, aut quo abiret, quidam ex officio admissionis simul expellens, abire in Morboniam jusserat. In hunc postea deprecantem haud ultra verba excanduit, et quidem totidem fere atque eadem. » Les

sa table plusieurs membres de ce corps et des autres, et lui-même souvent il soupait chez ses intimes amis.

11. En un mot, par le soin qu'il prenait des affaires publiques, il se montrait comme empereur; dans tout le le reste, il se conduisait envers tous comme un particulier et comme un égal. Il raillait familièrement et souffrait sans peine qu'on le raillât; les libelles injurieux qu'on publiait sans nom d'auteur, comme c'est la coutume, contre les empereurs, ne l'empêchaient pas de publier des règlements utiles, sans s'en émouvoir en rien. Phébus étant venu le trouver pour se justifier de ce qu'un jour, en Grèce, sous Néron, Vespasien ayant froncé le sourcil à la vue de quelque acte indécent de l'empereur, il lui avait ordonné par colère de s'en aller et que celui-ci lui demandant « Où? » il avait reparti « Aux corbeaux, » Vespasien ne lui fit aucun mal et se contenta de lui répondre « Va-t-en aux corbeaux. » Vologèse lui ayant écrit en ces termes : « Le roi des rois Arsacès à Flavius Vespasien, joie, » il ne lui fit aucun reproche et lui récrivit en la même façon, sans ajouter à son nom aucun des titres appartenant à la dignité impériale.

Excerpta Vat. rapportent également ce fait; la première partie du récit (cf. LXIII, 15, note 3, p. 162) s'y trouve déjà précédemment en termes à peu près identiques.

5. Les rois des Parthes avaient coutume de s'intituler rois des rois; il n'y a donc pas, de la part d'Arsace (ce nom, chez eux, était un titre dynastique semblable à ceux de César et d'Auguste chez les Romains), toute l'arrogance que Dion veut y voir. — 6. Suivant les *Excerpta Vat.*, ἀντέγραψεν οὕτως· Βασιλεῖ βασιλέων Οὐαλογέσσῳ Βεσπασιανὸς Καῖσαρ.

12. Ἐπεὶ δὲ Πρίσκος Ἑλουΐδιος ὁ τοῦ Θρασέου γαμβρὸς, τοῖς τε Στωϊκοῖς δόγμασιν ἐντραφεὶς, καὶ τὴν τοῦ Θρασέου παῤῥησίαν οὐ σὺν καιρῷ μιμούμενος, στρατηγῶν δὲ τηνικαῦτα, οὔτε τι πρὸς τιμὴν τοῦ[1] αὐτοκράτορος ἔδρα, καὶ προσέτι καὶ βλασφημῶν αὐτὸν οὐκ ἐπαύετο[2]· καί ποτε διὰ τοῦτο οἱ δήμαρχοι συλλαβόντες αὐτὸν, τοῖς ὑπηρέταις παρέδοσαν· συνεχύθη τε ὁ Οὐεσπασιανὸς, καὶ δακρύσας ἐκ τοῦ βουλευτηρίου ἐξῆλθε, τοσοῦτο μόνον εἰπὼν ὅτι, « Ἐμὲ μὲν υἱὸς διαδέξεται, ἢ οὐδεὶς ἄλλος[3] ». [Ὅτι[4] οὐχ ἥκιστα ἔνδηλον ἐγένετο, ὅτι Πρίσκον τὸν Ἑλουΐδιον[5], οὐ μᾶλλόν τι δι' ἑαυτὸν, ἢ διὰ τοὺς φίλους αὐτοῦ οὓς ὕβρισεν, ἐμίσησεν ὁ Οὐεσπασιανός· ἀλλ' ὅτι ταραχώδης τε ἦν, καὶ τῷ ὄχλῳ προσέκειτο, βασιλείας τε
R.p.1087 ἀεὶ κατηγόρει, καὶ δημοκρατίαν ἐπῄνει, καὶ ἔπραττεν ἀκόλουθα τούτοις, καὶ συνίστη τινὰς, ὥσπερ που φιλοσοφίας ἔργον ὄν, τό τε τοὺς κρατοῦντας προπηλακίζειν, καὶ τὸ τὰ πλήθη ταράττειν, τό τε τὰ καθεστηκότα συγχεῖν, καὶ τὸ νεώτερα αὐτοῖς πράγματα ἐπεσάγειν. Ἦν γὰρ τοῦ Θρασέου γαμβρὸς, καὶ ζηλοῦν αὐτὸν ἐπλάττετο· πολὺ δ' αὐτοῦ ἡμάρτανε. Θρασέας μὲν γὰρ ἐπὶ Νέρωνος ὢν οὐκ ἠρέσκετο αὐτῷ· καὶ οὐδὲν μέντοι, οὐδ' ὡς, ὑβριστικὸν ἔλεγεν ἐς αὐτὸν, οὐδὲ ἔπραττεν, πλὴν καθόσον προσκοινωνεῖν οἱ τῶν δρωμένων οὐκ ἠξίου· οὗτος δὲ Οὐεσπασιανῷ ἤχθετο, καὶ οὔτ' ἰδίᾳ, οὔτε ἐν τῷ κοινῷ αὐτοῦ ἀπείχετο·

1. *a*, *b*, *k*, Bkk. et Ddf; vulg. om. — 2. Cf. Suétone, 15.
3. Cf. Suétone, 15.

12. Helvidius Priscus, gendre de Thraséas, nourri des dogmes stoïciens, et qui imitait hors de saison la liberté de Thraséas, non-seulement ne faisant, bien qu'il exerçât la préture, rien en l'honneur du prince, mais encore l'outrageant sans cesse par des paroles injurieuses, et les tribuns du peuple, après s'être, pour ce sujet, saisi de sa personne, l'ayant livré aux licteurs, Vespasien en eut de la confusion et sortit en pleurs du sénat en prononçant cette seule parole : « Mon fils sera mon successeur ou personne autre. » [C'est ce qui prouva d'une façon bien évidente que Vespasien prit en haine Helvidus Priscus, non pour ce qui le regardait personnellement, lui ou ses amis outragés par Helvidius, mais parce qu'il était turbulent, captait la faveur populaire, accusait sans cesse la royauté et exaltait le gouvernement républicain; parce que sa conduite était conforme à ses paroles, et qu'il suscitait des factions, comme si c'eût été l'œuvre d'un philosophe que de couvrir de boue ceux qui exerçaient le pouvoir, de semer le trouble parmi la multitude, de bouleverser ce qui existe et d'introduire des nouveautés. Il était gendre de Thraséas et feignait de l'imiter, mais il était bien loin de marcher sur ses traces. Thraséas, il est vrai, qui vivait sous Néron, n'aimait pas ce prince, mais néanmoins il ne disait et ne faisait, malgré cela, rien d'outrageant contre lui, excepté qu'il ne voulait pas prendre part à ce qui se faisait; tandis qu'Helvidius était irrité contre Vespasien et ne l'épargnait ni en particulier, ni en public, mais

4. Rm. et St. : Ὄθεν.
5. Peir. : Ἔλβιον.

ἀλλ' ἐξ ὧν ἐποίει ἐθανάτα, καὶ πολλὰ πράττων ἔμελλέ ποτε δίκην αὐτῶν δώσειν[1].]

13. Ὡς δ' οὖν καὶ ἄλλοι πολλοὶ ἐκ τῶν Στωϊκῶν καλουμένων λόγων προαχθέντες, μεθ' ὧν καὶ Δημήτριος ὁ κυνικὸς, συχνὰ καὶ οὐκ ἐπιτήδεια τοῖς παροῦσι, δημοσίᾳ, τῷ τῆς φιλοσοφίας προσχήματι καταχρώμενοι, διελέγοντο, κἀκ τούτου καὶ ὑποδιέφθειρόν[2] τινας, ἔπεισεν ὁ Μουκιανὸς τὸν Οὐεσπασιανὸν, πάντας τοὺς τοιούτους ἐκ τῆς πόλεως ἐκβαλεῖν, εἰπὼν ὀργῇ μᾶλλον ἢ φιλολογίᾳ τινὶ πολλὰ κατ' αὐτῶν[3]. Καὶ πάντας αὐτικὰ τοὺς φιλοσόφους ὁ Οὐεσπασιανὸς, πλὴν τοῦ Μουσωνίου, ἐκ τῆς Ῥώμης ἐξέβαλε· τὸν δὲ δὴ Δημήτριον καὶ τὸν Ὀστίλιον[4] καὶ ἐς νήσους κατέκλεισε. Καὶ ὁ μὲν Ὀστίλιος, εἰ καὶ τὰ μάλιστα μὴ ἐπαύ-

1. Cf. Suétone, 15. — 2. Conjecture de Rsk., confirmée par *a*, *b*, et adoptée par Bkk. et Ddf; vulg. : ὑποδιέφερον. St. : « Sane ὑποδιαφέρειν an significet *clam in varias sententias trahere*, valde dubito. » A cet endroit se rapporte le passage suivant de Zn. : Μετὰ τοῦτο [le triomphe de Judée (passage cité plus haut, p. 297, note 8), c'est-à-dire l'an de Rome 824] διδασκάλους ἐν τῇ Ῥώμῃ καὶ τῆς Λατινῶν καὶ τῆς Ἑλληνικῆς παιδείας κατέστησε, μισθὸν ἐκ τοῦ δημοσίου φέροντας. Κατηγορίαν δὲ ὁ Μουκιανὸς τῶν φιλοσόφων πολλὴν ποιησάμενος ἔπεισε.... « Ensuite il établit à Rome « des maîtres chargés d'enseigner les lettres latines et grecques, qui rece- « vaient un salaire du trésor public. Mucien, s'étant répandu en accusa- « tions contre les philosophes, le décida... »

3. Lncl. : « Εἰπόντας (cum interjectis) κατ' αὐτοῦ. » Rm. : « Ego refero ad Mucianum, quod confirmat Zn. » Rsk. : « Aut μισολογίᾳ, pro φιλολογίᾳ legendum, aut cum Leunclavio faciendum. » Les *Excerpta Vat.*, bien que la fin du passage soit tronquée par une déchirure du ms., rapportent un discours de Mucien qui, si, comme je le crois volontiers, il n'est pas celui du personnage, ne laisse pas d'être inspiré par un certain souvenir de ses paroles : Ὅτι Μουκιανὸς πρὸς Βεσπασιανὸν κατὰ τῶν Στωϊκῶν πλεῖστά τε εἶπε καὶ θαυμάσια· ὡς ὅτι αὐχήματος κενοῦ εἰσι πεπληρωμένοι. Κἂν τὸν πώγωνά τις αὐτῶν καθῇ, καὶ τὰς ὀφρύας ἀνασπάσῃ, τό τε τριβώνιον

qu'au contraire sa conduite l'entraînait à sa perte et qu'il devait un jour être puni de ses nombreux méfaits.]

13. Quelques autres aussi, poussés par la doctrine stoïcienne, et, avec eux, Démétrius le cynique, abusant des dehors de la philosophie, tenaient en public une foule de discours peu convenables aux circonstances, et, par suite, ils corrompaient plusieurs citoyens ; Mucien décida Vespasien à chasser tous ceux qui appartenaient à cette secte, s'inspirant contre eux plus encore de la colère que de l'amour de la science. Vespasien chassa aussitôt de Rome tous les philosophes, à l'exception de Musonius ; il relégua même Démétrius et Hostilius dans des îles. Hostilius, bien qu'à la nouvelle

An de Rome 824. Pl. Vespasien consul III et Cocc. Nerva consul I.

ἀναβάληται, καὶ ἀνυπόδητος βαδίσῃ, σοφὸς εὐθὺς, ἀνδρεῖος, δίκαιος φησὶν εἶναι· καὶ πνεῖ ἐφ' ἑαυτοῦ [Bkk.; vulg. et Ddf : ἑαυτῷ] μέγα, κἂν, τὸ λεγόμενον δὴ τοῦτο, μήτε γράμματα, μήτε νεῖν ἐπίσταται [Van Herwerden croit, et je partage son avis, qu'il faut nécessairement ἐπίστηται· καὶ πάντας ὑπερορῶσι, καὶ τὸν μὲν εὐγενῆ τηθαλλωδοῦν [Bkk. et Ddf; le ms. : τιθαλλωδὸν], τὸν δὲ ἀγενῆ σμικρόφρονα, καὶ τὸν καλὸν ἀσελγῆ, τὸν δὲ αἰσχρὸν εὐφυᾶ, τὸν δὲ πλούσιον πλεονέκτην, τὸν δὲ πένητα δουλοπρεπῆ καλοῦσι.... « Mucien s'étendit, auprès de Vespasien, en termes magnifiques contre « les stoïciens : c'étaient, disait-il, des gens pleins d'un vain orgueil. Aus- « sitôt, ajoutait-il, qu'on a laissé pousser sa barbe, qu'on a relevé ses « sourcils, qu'on s'est enveloppé du manteau troué, qu'on marche sans « chaussure, aussitôt on prétend être sage, courageux, juste ; on a une « haute opinion de sa personne, bien que, comme dit le proverbe, on ne « sache ni lire ni filer ; on méprise tout le monde : les gens de noble « naissance sont des fats ; les gens sans naissance de petits esprits ; « l'homme beau est impudique ; l'homme laid est distingué ; le riche est « ravisseur ; le pauvre a des sentiments serviles.... »

4. *a*, *b* : Ὀτιλιανόν, et, plus bas, Ὀστίλιος, avec l'esprit doux. Rm. déclare n'avoir pu trouver autre part aucune mention de ce philosophe, soit comme cynique, soit comme stoïcien.

σατο, περὶ τῆς φυγῆς ἀκούσας (ἔτυχε γαρ διαλεγόμενός τινι[1]), ἀλλὰ καὶ πολλῷ πλείω κατὰ τῆς μοναρχίας κατέδραμεν, ὅμως παραχρῆμα μετέστη[2]· τῷ δὲ Δημητρίῳ, μηδ' ὡς ὑπείκοντι, ἐκέλευσεν ὁ Οὐεσπασιανὸς λεχθῆναι, ὅτι « Σὺ μὲν πάντα ποιεῖς ἵνα σε ἀποκτείνω, ἐγὼ δὲ κύνα ὑλακτοῦντα οὐ φονεύω. »

14. Τότε δὲ καὶ Καινὶς ἡ τοῦ Οὐεσπασιανοῦ παλλακὴ μετηλλαξεν. Ἐμνημόνευσα δὲ αὐτῆς ὅτι τε πιστοτάτη ἦν, καὶ ὅτι μνήμης ἄριστα[3] ἐπεφύκει. Πρὸς γοῦν τὴν δέσποιναν τὴν Ἀντωνίαν, τὴν τοῦ Κλαυδίου μητέρα, κρύφα
R.p.1088 τι δι' αὐτῆς τῷ Τιβερίῳ περὶ τοῦ Σηϊανοῦ γράψασαν, καὶ αὐτὸ ἀπαλειφθῆναι εὐθὺς, ὅπως μηδεὶς αὐτοῦ ἔλεγχος ὑπολειφθῇ, κελεύσασαν· « Μάτην, ὦ δέσποινα, ἔφη, τοῦτο προσέταξας· πάντα γὰρ καὶ ταῦτα, καὶ τὰ ἄλλα ὅσα ἂν ὑπαγορεύσῃς μοι, ἔν τε τῇ ψυχῇ ἀεὶ φέρω, καὶ οὐδέ ποτε ἐξαλειφθῆναι δύναται. » Τοῦτό τε οὖν αὐτῆς ἐθαύμασα, καὶ προσέτι ὅτι καὶ ὁ Οὐεσπασιανὸς αὐτῇ ὑπερέχαιρε· πλεῖστόν τε διὰ τοῦτο ἴσχυσε, καὶ πλοῦτον ἀμύθητον ἤθροισεν, ὥστε καὶ νομισθῆναι, ὅτι δι' αὐτῆς ἐκείνης ἐχρηματίζετο[4]· πάμπολλα γὰρ παρὰ πολλῶν ἐλάμβανε, τοῖς μὲν ἀρχὰς, τοῖς δὲ ἐπιτροπείας, στρατείας, ἱερωσύνας, ἤδη δέ τισι καὶ ἀποφάσεις αὐτοῦ πιπράσκουσα. Ἀπέκτεινε μὲν γὰρ Οὐεσπασιανὸς χρημάτων ἕνεκα οὐδένα, ἔσωσε δὲ πολλοὺς

1. Rsk. : τισι. — 2. St. : « Μετέστη, *In exsilium abiit.* V. Reisk. ad Constantini Porphyrog. Ceremoniale, p. 61. »

3. St. : « Ἄξια, R. Immo ἀξία. Sed legendum putem τὴν μνήμην ἄριστη. »

de son exil, loin de mettre un terme à ses propos (il conversait avec un autre citoyen), il eût redoublé d'invectives contre le pouvoir monarchique, ne laissa pas de partir sur-le-champ; quant à Démétrius, comme il ne cédait pas malgré cela, Vespasien ordonna de lui dire : « Tu fais tout pour m'obliger de t'ôter la vie, mais je ne tue pas un chien qui aboie. »

14. En ce temps aussi mourut Cénis, concubine de Vespasien. Ce qui me fait parler d'elle, c'est sa fidélité et l'excellence de sa mémoire. Antonia, sa maîtresse et mère de Claude, s'étant servie d'elle pour écrire en secret quelque chose à Tibère contre Séjan, et lui ayant ordonné de l'effacer incontinent après, afin qu'il n'en restât aucune trace, « C'est en vain, maîtresse, que tu me le commandes, dit-elle; toutes ces choses et les autres que tu me prescris, je les porte toujours dans mon âme et rien ne peut jamais les en effacer. » J'admire cette réponse de sa part et aussi le charme singulier que Vespasien trouvait à son commerce; aussi acquit-il un grand pouvoir par ce moyen et amassa-t-il une fortune tellement fabuleuse qu'il passa pour avoir tiré parti de cette femme afin de se procurer de l'argent; car elle en tirait d'une foule de citoyens, vendant à ceux-ci des magistratures, à ceux-là des gouvernements de provinces, des expéditions militaires, des fonctions sacerdotales, et, à quelques-uns, des réponses de l'empereur lui-même. Car Vespasien ne fit périr aucun citoyen pour s'emparer de ses biens, il

4. Ce que notre auteur attribue à Cénis, Suétone (Titus, 7) le met sur le compte de Titus : « . . . constabat in cognitionibus patris nundinari præmiarique solitum. »

τῶν διδόντων[1]· καὶ ἡ μὲν λαμβάνουσα ἐκείνη ἦν, ὑπωπτεύετο δὲ ὁ Οὐεσπασιανὸς ἑκὼν αὐτῇ ἐπιτρέπειν τοῦτο ποιεῖν[2], ἐκ τῶν ἄλλων ὧν ἔπραττεν, ὧν ὀλίγα δείγματος ἕνεκα διηγήσομαι. Ἀνδριάντα γὰρ πέντε καὶ εἴκοσι μυριάδων στῆσαί οἱ ψηφισαμένων τινῶν, προέτεινε τὴν χεῖρα καὶ ἔφη, « Δότε μοι τὸ ἀργύριον· ἡ γὰρ βάσις αὐτοῦ αὕτη ἐστί[3]. » Καὶ πρὸς τὸν Τίτον ἀγανακτοῦντα τῷ τοῦ οὔρου τέλει, ὃ καὶ αὐτὸ μετὰ τῶν ἄλλων κατεδείχθη, εἶπε λαβὼν ἐξ αὐτοῦ χρυσοῦς πεπορισμένους, καὶ δείξας αὐτῷ· « Ἰδοὺ, τέκνον, εἴ τι ὄζουσιν.[4] »

15. Ἐπὶ δὲ τοῦ Οὐεσπασιανοῦ ἔκτον[5] καὶ ἐπὶ τοῦ
R.p.1089 Τίτου τέταρτον ἀρχόντων, τὸ τῆς Εἰρήνης τέμενος[6], ὅ τε Κολοσσὸς ὠνομασμένος ἐν τῇ Ἱερᾷ ὁδῷ ἱδρύθη[7]· φασὶ[8] δὲ αὐτὸν τό τε ὕψος ἑκατὸν ποδῶν, καὶ τὸ εἶδος, οἱ μὲν τὸ

1. Suétone, 16 : « Creditur etiam procuratorum rapacissimum quemque ad ampliora officia ex industria solitus promovere, quo locupletiores mox condemnaret : quibus quidem vulgo pro spongiis dicebatur uti, quod quasi et siccos madefaceret, et exprimeret humentes. » — 2. *c* om. : τοῦτο ποιεῖν. — 3. Suétone, 23 : « Nunciantes legatos decretam ei publice non mediocris summæ statuam colosseam, jussit vel continuo ponerent, cavam manum ostentans, et paratam basin dicens. » — 4. En faisant payer (notes sur Suétone) ceux qui, durant le jour, venaient aux baquets placés dans les ruelles, de la même façon que les latrines avaient été affermées aux *foricarii*. Car, dans l'empire romain, les immondices même avaient fini (cf. Burmann, des Impôts chez les Romains, ch. 11, p. 199) par être soumis à un impôt. L'exemple de Paris et des principales villes de France suffit d'ailleurs pour justifier cette explication, qui appartient à Casaubon, dans ses notes sur le passage suivant de Suétone (Vespasien, 23) : « Reprehendenti filio Tito, quod etiam urinæ vectigal commentus esset, pecuniam ex prima pensione admovit ad nares, sciscitans Num odore offenderetur; et illo negante, Atqui, inquit, e lotio est. »

fit même grâce à plusieurs moyennant finance. C'était Cénis qui recevait, mais l'on soupçonnait Vespasien de lui en laisser volontairement la charge; je vais, pour en donner un exemple, raconter d'autres traits de sa vie. Quelques-uns ayant décrété de lui ériger une statue de deux cent cinquante mille drachmes, il tendit la main et leur dit : « Donnez-moi cet argent, car voilà la base de la statue. » Titus témoignant son mécontentement de l'impôt sur l'urine, impôt que Vespasien avait établi ainsi que plusieurs autres, il lui dit en prenant des pièces d'or qui en provenaient et les lui montrant : « Vois, mon fils, si elles sentent quelque chose. »

15. Sous le sixième consulat de Vespasien et le quatrième de Titus, le temple de la Paix fut dédié; et ce qu'on nomme le Colosse fut dressé dans la voie Sacrée; ce colosse a, dit-on, une hauteur de cent pieds, et c'est la

An de Rome 828. Flavius Vespasien consul VI et Titus Vespasien consul IV.

5. Rm. : « A. U. C. 828, Christi 75. Non crediderim quæ præcesserant ab. A. U. C. 824 integro quadriennio, Dionem sicco pede præteriisse. »

6. Suétone, 9 : « Fecit et nova opera, templum Pacis foro proximum. » Josèphe, VII, 5, § 7, décrit la magnificence de ce temple où avaient été transportés l'or et l'argent enlevés au temple de Jérusalem.

7. Statue colossale que Néron avait placée devant la maison d'Or. Suétone, 18 : « Colossi refectorem insigni congiario magnaque mercede donavit. » Sans doute, dit Rm. (note 90), le Colosse gisait encore à terre depuis que la maison de Néron avait été rebâtie, faute d'avoir trouvé jusqu'à ce moment un artiste capable de le rétablir; car, avant Adrien, il ne changea pas de place. Son érection dans la voie Sacrée s'explique, parce que la partie qui avait été autrefois l'ample vestibule de la maison de Néron se trouvait, par la suite du resserrement des rues, toucher à la voie Sacrée, voie qui conduisait au Palatin, où était située la maison.

8. Les auteurs varient sur les dimensions de cette statue, et c'est pour cela, sans doute, que Dion se sert du mot φασί.

τοῦ Νέρωνος, οἱ δὲ τὸ τοῦ Τίτου ἔχειν[1]. Σφαγὰς δὲ ὁ Οὐεσπασιανὸς θηρίων μὲν ἐποιεῖτο ἐν τοῖς θεάτροις· μονομαχίαις δὲ ἀνδρῶν οὐ πάνυ τι ἔχαιρε, καίτοι τοῦ Τίτου ἐν ταῖς τῶν νεανίσκων παιδιαῖς, ταῖς ἐν τῇ πατρίδι αὐτοῦ τελουμέναις, σκιαμαχήσαντός ποτε πρὸς τὸν Ἀλιηνὸν ὅπλοις. Τοῖς δὲ Πάρθοις πολεμωθεῖσι πρός τινας, καὶ τῆς παρ' αὐτοῦ συμμαχίας δεηθεῖσιν[2], οὐκ ἐβοήθησεν, εἰπὼν ὅτι οὐ προσήκει αὐτῷ τὰ ἀλλότρια[3] πολυπραγμονεῖν. Βερενίκη δὲ ἰσχυρῶς τε ἤνθει, καὶ διὰ τοῦτο καὶ ἐς τὴν Ῥώμην μετὰ τοῦ ἀδελφοῦ τοῦ Ἀγρίππα ἦλθε[4]. Καὶ ὁ μὲν στρατηγικῶν τιμῶν ἠξιώθη, ἡ δὲ ἐν τῷ παλατίῳ ᾤκησε καὶ τῷ Τίτῳ συνεγίγνετο[5]. Προσεδοκᾶτο δὲ γαμηθήσεσθαι αὐτῷ, καὶ πάντα ἤδη ὡς καὶ γυνὴ αὐτοῦ οὖσα ἐποίει· ὥστ' ἐκεῖνον, δυσχεραίνοντας τοὺς Ῥωμαίους ἐπὶ τούτοις αἰσθόμενον[6], ἀποπέμψασθαι αὐτήν[7]. Ἄλλως τε γὰρ πολλὰ ἐθρυλεῖτο, καί τινες καὶ τότε σοφισταὶ κυνικοὶ[8], ἐς τὸ ἄστυ πως παραδύντες[9], Διογένης μὲν πρότερος ἐς τὸ θέα-

1. Rm. : « In maxima diversitate auctorum (Dionis [LXXII, 22]; Spart., Hadr. 19; Lamprid., Commod. 17; Plin. XXXIV, 7; Herodian. I, 15, 9) probabile videtur, Vespasianum restituto Colosso novum caput, certe radiatum, addidisse, ut Solis imaginem referret : quod tamen Neronis adhuc esse visum nonnullis, quum ille alias Apollinem seu Phœbum imitaturus, radiatum se fingi voluerit in nummis. Quidam forte et Titi esse dixerunt, quum pluribus adeo imperatoribus caput radiatum, ut ait Plinius, Panegyr., 52. Hadrianus autem transmotum Colossum solemnius Soli dicavit, Commodus, remoto hoc capite, suum imposuit. Ceterum de illa capitum amputatione et permutatione in statuis, vide Lipsium ad Tac., Ann. I, 74. »

2. *a* om. : πρός τινας... δεηθεῖσιν. Vologèse I, pressé par les Alains, demandait à Vespasien d'envoyer un de ses fils pour le secourir.

figure de Néron, suivant les uns, celle de Titus, suivant les autres. Vespasien donnait des chasses sur les théâtres ; quant aux combats de gladiateurs, il y prenait fort peu de plaisir, bien que Titus, à des jeux donnés par les jeunes gens dans sa patrie, eût un jour simulé un combat les armes à la main contre Aliénus. Les Parthes étant entrés en guerre avec d'autres peuples et lui ayant demandé son alliance, il ne leur accorda pas de secours, disant qu'il ne lui convenait pas de se mêler des affaires d'autrui. Bérénice était en grande considération, aussi vint-elle à Rome avec son frère Agrippa. Agrippa fut décoré des ornements de la préture, Bérénice habita le palais et devint la maîtresse de Titus. Elle s'attendait même à l'épouser et faisait tout déjà comme si elle eût été sa femme, au point que Titus, voyant les Romains réprouver cette conduite, la renvoya. D'ailleurs on répandait beaucoup de bruits désavantageux, et, quelques sophistes cyniques étant entrés secrètement à Rome, Diogène, le premier, se rendit au théâtre, et, pour avoir

3. Bérénice était fille d'Hérode Agrippa. Elle épousa Hérode, son oncle, et ensuite Polémon, roi de Cilicie. Juvénal, VI, 156, l'accuse d'un commerce incestueux avec son frère Agrippa.

4. Agrippa le jeune. Il avait accompagné Titus au siége de Jérusalem.

5. Cf. Suétone, Titus, 7 ; Tacite, Hist., II, 2.

6. *a*, *b*, *i*, *k*, Bkk. et Ddf ; vulg. : ἡσθημένον ; *f* : αἰσθημένον.

7. Suétone semble dire que ce fut une fois arrivé à l'empire, que Titus renvoya Bérénice ; Aurélius Victor, Epit., X, 7, le dit formellement. Mais Dion, ch. 18, prétend qu'elle revint une seconde fois, après la mort de Vespasien.

8. D'après Rm., vulg., Bkk. et Ddf : κύνειοι.

9. Les philosophes, à l'exception de Musonius (ch. 12), avaient été bannis de Rome.

τρον πλῆρες ἀνδρῶν ἐσῆλθε, καὶ πολλὰ αὐτοὺς λοιδορήσας, ἐμαστιγώθη· Ἥρᾳς δὲ μετ' αὐτὸν, ὡς οὐδὲν πλεῖον πεισόμενος, πολλὰ καὶ ἄτοπα κυνηδὸν ἐξέκραγε, καὶ διὰ τοῦτο καὶ τὴν κεφαλὴν ἀπετμήθη.

R.p.1090 16. Καθ' ὃν δὴ καιρὸν, καὶ ταῦτα ἐγένετο· οἶνός τε γὰρ ἐν καπηλείῳ τινὶ τοσοῦτος ὑπὲρ τὸ ἀγγεῖον ὑπερεχύθη, ὥστε καὶ ἐς τὴν ὁδὸν προχωρῆσαι· καὶ ὁ Σαβῖνος ἐκεῖνος ὁ Γαλάτης, ὁ Καίσαρά ποτε ἑαυτὸν ὀνόμασας[1], καὶ ἐς ὅπλα χωρήσας, ἡττηθείς τε καὶ ἐς τὸ μνημεῖον κατακρυφθεὶς, ἐφανερώθη τε καὶ ἐς τὴν Ῥώμην ἀνήχθη. Συναπέθανε δὲ αὐτῷ καὶ ἡ γυνὴ Πεπονίλλα[2], ἥπερ που καὶ διεσέσωστο αὐτὸν[3]· καίτοι καὶ τὰ παιδία τῷ Οὐεσπασιανῷ προβαλοῦσα, καὶ ἐλεεινότατον ἐπ' αὐτοῖς λόγον εἰποῦσα[4] ὅτι, « Ταῦτα, Καῖσαρ, καὶ ἐγέννησα ἐν τῷ μνημείῳ καὶ ἔθρεψα, ἵνα σε πλείονες ἱκετεύσωμεν[5]. » Δακρύσαι μὲν γὰρ αὐτὸν καὶ τοὺς ἄλλους ἐποίησεν, οὐ μέντοι καὶ ἠλεήθησαν[6]. Κἀν τούτῳ ἐπεβουλεύθη μὲν ὑπό τε τοῦ Ἀλιηνοῦ καὶ ὑπὸ τοῦ Μαρκέλλου, καίπερ φίλους τε αὐτοὺς ἐν τοῖς μάλιστα νομίζων, καὶ πάσῃ ἐς αὐτοὺς ἀφθονω-

1. Cf. ch. 3. — 2. Bkk. et Ddf; vulg.: Πεπονίλα. Plutarque (de l'Amour) a raconté cette histoire avec plus de détail; il donne à la femme de Sabinus le nom d'Éponine.

3. St. : « Non patitur Græcæ linguæ consuetudo, ut διεσέσωστο pro διεσωσώκει ponatur. Aut igitur deesse aliquid arbitror, aut Dionem aliter scripsisse. H.S. Paulo post tamen προπαρεσκεύαστο positum est pro παρεσκενάκει. Rsk. : Αὐτόν in μετ' αὐτοῦ mutat R. »

4. Suivant Plutarque, l'un mourut en Égypte, l'autre, nommé Sabanus, vivait encore de son temps à Delphes. — 5. Plutarque, au contraire :

dit force insolences au peuple qui y était assemblé, fut battu de verges; Héras, après lui, persuadé qu'il ne recevrait pas un châtiment plus rigoureux, se mit à pousser, avec toute l'impudence d'un chien, une foule de cris injurieux, et eut, pour ce fait, la tête tranchée.

16. Voici encore d'autres événements du même temps: il y eut, dans une taverne, du vin qui déborda tellement par-dessus le tonneau qu'il coula dans la rue; le Gaulois Sabinus, qui s'était autrefois donné le nom de César, qui avait pris les armes, qui avait été vaincu et qui s'était caché dans un tombeau, fut découvert et amené à Rome. Avec lui mourut sa femme Péponilla qui lui avait sauvé la vie, bien qu'elle eût présenté à Vespasien ses enfants, et qu'elle lui eût, à leur sujet, adressé ces paroles si propres à exciter la compassion: « Ces enfants, César, je les ai mis au monde et élevés dans le tombeau afin que nous fussions plus nombreux pour te supplier. » Elle fit pleurer l'empereur et les autres assistants, mais il n'y eut pas de grâce. Sur ces entrefaites, Vespasien fut en butte à une conjuration ourdie contre lui par Aliénus et par Marcellus, qu'il considérait comme ses plus grands amis et qu'il avait comblés d'honneurs;

Καίτοι τὸν οἶκτον ἐξήρει τῶν θεωμένων τὸ θαῤῥαλέον αὐτῆς καὶ μεγαλήγορον, ᾧ καὶ μάλιστα παρώξυνε τὸν Οὐεσπασιανὸν, ὡς ἀπέγνω τῆς σωτηρίας πρὸς αὐτὸν, ἀλλαγὴν καλοῦσα, βεβιωκέναι γὰρ ὑπὸ σκότῳ καὶ κατὰ γῆς ἥδιον, ἢ βασιλεύοντα ἐκεῖνον. — 6. Secousse (Mémoires de l'Académie des Inscriptions, t. VI, pp. 670-679) pense, non sans quelque vraisemblance, qu'il a fallu à Vespasien, qui, au témoignage de Suétone (15), gémissait sur les supplices les plus justement infligés, des raisons majeures pour ne pas faire grâce. Plutarque, déjà cité, ajoute que Vespasien en fut puni par l'extinction complète de sa race.

τάτῃ[1] τιμῇ χρώμενος· οὐ μὴν καὶ ὑπ' ἐκείνων ἀπέθανε· φοραθέντες γὰρ, Ἀλιηνὸς μὲν αὐτοῦ ἐν τῷ βασιλείῳ, ἐξαναστὰς ἐκ τοῦ συσσιτίου, εὐθὺς ἀπεσφάγη, τοῦ Τίτου κελεύσαντος, μὴ καὶ φθάσῃ τι τῆς νυκτὸς νεοχμῶσαι (τῶν γὰρ στρατιωτῶν συχνοὺς προπαρεσκεύαστο[2])· Μάρκελλος δὲ δὴ κριθεὶς ἐν τῷ συνεδρίῳ[3], καὶ καταδικασθεὶς, ἀπέτεμε τὸν λαιμὸν αὐτὸς ἑαυτῷ ξυρῷ. Οὕτω που τοὺς φύσει κακοὺς οὐδὲ αἱ εὐεργεσίαι νικῶσιν, ὁπότε κἀκεῖνοι τῷ τοσαῦτα εὐεργετηκότι σφᾶς ἐπεβούλευσαν.

17. Ταῦτα μὲν οὕτως ἔσχεν· Οὐεσπασιανὸς δὲ, ὡς μὲν ἡ ἀλήθεια ἔχει, νοσήσας οὐ τῇ ποδάγρᾳ τῇ συνήθει, ἀλλὰ πυρετοῖς, μετῆλλαξεν ἐν τοῖς ὕδασι τῶν Σαβίνων τοῖς Κουτιλίοις ὠνομασμένοις[4]· ὡς δέ τινες καταψευδόμενοι
Π. p. 1091 τοῦ Τίτου, ἄλλοι τε, καὶ ὁ[5] Ἀδριανὸς ὁ αὐτοκράτωρ, ἐφήμισαν, φάρμακον ἐν συμποσίῳ τινὶ λαβών. Ἐγεγόνει[6] δὲ σημεῖα αὐτῷ φέροντα ἐς τοῦτο, ὅ τε ἀστὴρ ὁ[7] κομήτης ἐπὶ πολὺ φαντασθεὶς, καὶ τὸ μνημεῖον τὸ τοῦ Αὐγούστου αὐτόματον ἀνοιχθέν. Τῶν δὲ ἰατρῶν ἐπιτιμώντων αὐτῷ, ὅτι τῇ τε ἄλλῃ διαίτῃ ὁμοίᾳ νοσῶν[8] ἐχρῆτο, καὶ

1. Rsk. : « Aut ἀφθονώτατα adverbialiter [conjecture reproduite en note par Bkk.] legendum, aut καὶ ἀφθονωτάτῃ. »

2. Suétone, Titus, 6 : « A. Cæcinam [Dion l'appelle Aliénus, LXV, 10], consularem virum, vocatum ad cœnam, ac vixdum triclinio egressum, confodi jussit, sane urgente discrimine, quum etiam chirographum ejus præparatæ apud milites concionis deprehendisset. »

3. Rm. croit qu'il s'agit ici d'Éprius Marcellus, accusateur de Thraséas, deux fois accusé par Helvidius Priscus, et deux fois absous, la dernière fois grâce aux prières de Mucien. Car, plus Helvidius devint odieux à Vespasien, plus le crédit d'Éprius Marcellus put augmenter; en sorte

néanmoins il n'y succomba pas : la conspiration, en effet, ayant été découverte, Aliénus fut, dans le palais, au moment même où il se levait de table, mis à mort sur l'ordre de Titus, qui craignait d'être, la nuit, prévenu par quelque révolte (un assez grand nombre de soldats avaient été gagnés); Marcellus, jugé et condamné dans le sénat, se coupa la gorge avec un rasoir. C'est ainsi que les bienfaits ne sauraient vaincre une nature vicieuse, puisque ces hommes conspirèrent contre celui qui leur avait fait tant de bien.

17. Voilà ce qui eut lieu. Vespasien, s'il faut dire la vérité, mourut non de la goutte, sa maladie habituelle, mais de fièvres, aux eaux nommées Cutiliennes, dans le pays des Sabins ; s'il faut s'en rapporter à des témoignages mensongers contre Titus, entre autres à celui de l'empereur Adrien, d'un poison qui lui aurait été donné dans un festin. Il eut des présages qui se rapportaient à sa fin : la comète qui se montra pendant longtemps, et le monument d'Auguste qui s'ouvrit de lui-même. Comme les médecins lui reprochaient de ne pas faire usage d'un régime différent durant sa maladie et

qu'il n'est pas impossible qu'il ait été au nombre des amis du prince, et l'expression τοὺς φύσει κακούς lui convient parfaitement.

4. Cf. Suétone, 24.

5. *c* om. L'empereur Adrien avait publié, sous le nom de Phlégon, son affranchi, des mémoires sur lui-même (Spartien, 16). Cet empereur aimait à déprécier le mérite et la gloire.

6. St., d'après Rm. et Rsk., Bkk. et Ddf; vulg. : ἐνεγεγόνει.

7. Bkk. et Ddf.; vulg. om. — 8. Rsk. : « Ὁμοίᾳ ἀνόσων, *eadem qua utuntur sani et valentes*. Si vulgata servetur, subaudiendum post ὁμοίᾳ erit τῇ πρίν, vel τῇ συνήθει. »

πάντα τὰ προσήκοντα τῇ ἀρχῇ ἔπραττε, « Τὸν αὐτοκράτορα δεῖ, ἔφη, ἑστῶτα ἀποθνήσκειν [1]. » Καὶ πρὸς τοὺς περὶ τοῦ κομήτου τι διαλαλοῦντας, « Οὐκ ἔμοιγε, εἶπεν, ἀλλὰ τῷ τῶν Πάρθων βασιλεῖ προσημαίνει· ἐκεῖνος γὰρ κομᾷ [2], ἐγὼ δὲ φαλακρός εἰμι. » Ἐπειδή τε ἐπίστευσεν ὅτι τελευτήσει, ἔφη, « Θεὸς ἤδη γίνομαι [3]. « Ἔζησε δὲ ἔτη ἐννέα καὶ ἑξήκοντα, καὶ μῆνας ὀκτώ [4]· ἐμονάρχησε δὲ ἔτη [5] δέκα, ἡμερῶν ἓξ δέοντα. Κἀκ τούτου συμβαίνει ἐνιαυτόν τε καὶ δύο [6] καὶ εἴκοσιν ἡμέρας ἀπὸ τοῦ θανάτου τοῦ Νέρωνος μέχρι τῆς τοῦ Οὐεσπασιανοῦ ἀρχῆς διελθεῖν. Ἔγραψα δὲ τοῦτο, τοῦ μή τινος ἀπατηθῆναι, τὴν ἐξαρίθμησιν τοῦ χρόνου πρὸς τοὺς τὴν ἡγεμονίαν ἔχοντας ποιουμένους. Ἐκεῖνοι μὲν γὰρ οὐ διεδέξαντο ἀλλήλους, ἀλλὰ ζῶντός τε καὶ ἔτι ἄρχοντος ἑτέρου, ἕκαστος αὐτῶν ἐπίστευσεν αὐτοκράτωρ, ἀφ' οὗ γε καὶ ἐς τοῦτο παρέκυψεν, εἶναι· δεῖ δ' οὐ πάσας σφῶν τὰς ἡμέρας, ὡς καὶ ἐφεξῆς ἀλλήλαις ἐκ διαδοχῆς γενομένας ἀριθμεῖν, ἀλλ' ἐφάπαξ πρὸς τὴν ἀκρίβειαν τοῦ χρόνου, καθάπερ εἴρηταί μοι, λογίζεσθαι.

18. Ὁ δὲ δὴ Τίτος οὐδὲν οὔτε φονικὸν, οὔτε ἐρωτικὸν, μοναρχήσας ἔπραξεν, ἀλλὰ χρηστὸς, καίπερ ἐπιβουλευ-
R.p.1092 θεὶς, καὶ σώφρων, καίτοι καὶ τῆς Βερενίκης ἐς Ῥώμην

1. Cf. Suétone, 24. — 2. Les Parthes, comme les Perses, portaient les cheveux longs et bouclés.

3. *a*, *b*, *c*, *i*, *k* et Ddf; Bkk. : γίγνομαι; vulg. : γενήσομαι. — 4. *a*, *b* : καὶ ἐμονάρχησεν ἔτη.

de continuer de remplir ses fonctions : « Un empereur, répondit-il, doit mourir debout. » Comme on lui parlait de la comète : « Ce n'est pas à moi, dit-il, mais au roi des Parthes que s'adresse le présage, car il a une longue chevelure, et moi, je suis chauve. » Quand il crut être près de mourir, il dit : « Je commence à devenir dieu. » Il vécut soixante-neuf ans huit mois; il en régna dix, moins six jours. Ainsi il y a un an et vingt-deux jours depuis la mort de Néron jusqu'au règne de Vespasien. J'ai rapporté ce détail pour empêcher que quelques-uns ne se trompent en prenant pour base de leur chronologie les princes qui ont passé au pouvoir. Ils ne se succédaient pas les uns aux autres; mais chacun d'eux, bien que son prédecesseur vécût et régnât encore, se croyait empereur du moment où il avait, pour ainsi dire, jeté les yeux sur l'empire; il ne faut donc pas compter tous les jours de leurs règnes comme s'étant succédé les uns aux autres sans interruption, mais, ainsi que je l'ai dit, examiner rigoureusement l'ensemble du temps.

18. Depuis que Titus posséda seul la souveraine puissance, il ne commit aucun meurtre et ne se laissa point vaincre par l'amour; il fut bon, bien qu'on ait attenté à sa vie, et continent, bien que Bérénice fût revenue à

5. Rm. : « Καὶ μῆνας δύο, Camerar., ut notatur ad marg. mei Xiph. » Sur toute la chronologie de ce chapitre et du suivant, et les différences qu'elle présente chez les historiens, consulter les notes 114 à 119 de Rm.

6. Zn. ajoute : καὶ ἡμέρας ὀκτώ.

αὖθις ἐλθούσης, ἐγένετο. Τάχα μὲν γὰρ ὅτι[1] καὶ μετεβάλετο (οὐ γὰρ ὁμοίως ἄλλῳ[2] τέ τινες παραδυναστεύουσι, καὶ αὐτοὶ αὐταρχοῦσιν· ἀλλ' ἐκεῖνοι μὲν ἀφροντιστοῦντες τῆς τοῦ κρατοῦντος δόξης[3], τῇ τε ἐξουσίᾳ αὐτοῦ ἁπλήστως ἀποχρῶνται, καὶ πολλὰ ἐπί τε φθόνῳ καὶ διαβολῇ αὐτοῦ ποιοῦσιν· οἱ δὲ, ἐφ' αὐτοὺς[4] πάντα ἀνακείμενα εἰδότες, προνοοῦνταί τι καὶ τῆς εὐδοξίας· ὥσπερ που καὶ ὁ Τίτος πρός τινα, ὃν πρότερον ἐσπουδάκει, εἶπεν ὅτι, « Οὐχ ὅμοιόν ἐστιν ἑτέρου τι δεῖσθαι, καὶ αὐτὸν δικάζειν, οὐδὲ παρ' ἄλλου τι αἰτεῖν, καὶ αὐτὸν διδόναι τινί »)· ἤδη δὲ καὶ ὅτι ἐπὶ βραχύτατον, ὡς γε ἐς ἡγεμονίαν εἰπεῖν, ἐπεβίω[5], ὥστε μηδ' ἁμαρτίαν τινὰ αὐτῷ ἐγγενέσθαι. Δύο τε γὰρ ἔτη μετὰ τοῦτο, καὶ μῆνας δύο, ἡμέρας τε εἴκοσιν ἔζησεν, ἐπ' ἐννέα καὶ τριάκοντα ἔτεσι, καὶ μησὶ πέντε, καὶ ἡμέραις πέντε καὶ εἴκοσι. Καὶ αὐτὸν ἐξ ἴσου κατὰ τοῦτο τῇ τοῦ Αὐγούστου πολυετίᾳ ἄγουσι, λέγοντες ὅτι οὔτ' ἂν ἐκεῖνος ἐφιλήθη ποτὲ, ἐλάττω χρόνον ἐζήκει, οὔτ' ἂν οὗτος, εἰ πλείονα· ὁ μὲν, ὅτι τραχύτερος κατ' ἀρχὰς διά τε τοὺς πολέμους[6] καὶ διὰ τὰς στάσεις γενόμενος, ἠδυνήθη μετὰ ταῦτα εὐεργεσίαις ἐν τῷ χρόνῳ[7] λαμπρύνεσθαι· ὁ δ', ὅτι ἐπιεικῶς ἄρξας, ἐν ἀκμῇ τῆς δόξης[8] ἀπέθανε, τάχα ἂν ἐλεγχθεὶς, εἴγε ἐπὶ μακρὸν ἐβεβιώκει, ὅτι εὐτυχίᾳ πλείονι ἢ ἀρετῇ ἐχρήσατο.

